# Landesbibliothek Oldenburg

**Digitalisierung von Drucken**


## Omēru Ilias

**Homerus**

**[Venedig], [1504]**

Homeri Ilias


urn:nbn:de:gbv:45:1-763472



Visual Library

τοῦ βίου. ἐνταῦθα ὑπεκτίθεται ὁ κλεάναξ τὴν κριθηΐδα
πρὸς ἰσμηνίην τὸν βοιώτιον τῶν ἀποίκων λελογχότα, ὃς
ἔτυχεν αὐτῷ ἐὼν ἑταῖρος τὰ μάλιστα. χρόνου δὲ προϊόν-
τος, ἐξελθοῦσα ἡ κριθηῒς μετ' ἄλλων γυναικῶν πρὸς ἑορ-
τήν τινα ἐπὶ τὸν ποταμὸν καλούμενον μέλητα, ἤδη ἐπί-
τοκος οὖσα, τίκτει τὸν ὅμηρον οὐ τυφλὸν, ἀλλὰ δεδορκό-
τα. καὶ τίθεται ὄνομα τῷ παιδὶ μελησιγενέα, ἀπὸ τοῦ
ποταμοῦ τὴν ἐπωνυμίαν λαβοῦσα. τέως μὲν οὖν ἡ κρι-
θηῒς ἦν παρὰ τῷ ἰσμηνίᾳ. προϊόντος δὲ τοῦ χρόνου ἐξῆλ-
θε καὶ ἀπὸ ἐργασίης χειρῶν ὡρμημένη ἔτρεφε τὸ παι-
δίον καὶ ἑωυτὴν, ἄλλοτε παρ' ἄλλων ἔργα λαμβάνουσα,
καὶ ἐπαίδευσε τὸν παῖδα ἀφ' ὧν ἐδύνατο. ἦν δέ τις ἐν
σμύρνῃ τοῦτον τὸν χρόνον φήμιος τοὔνομα, παῖδας γράμ-
ματα καὶ τὴν ἄλλην μουσικὴν διδάσκων πᾶσαν. οὗτος
μισθοῦται τὴν κριθηΐδα, ὢν μονότροπος, ἐριουργῆσαι αὐ-
τῷ ἔριά τινα, ἃ παρὰ τῶν παίδων ἐς μισθοὺς ἐλάμβα-
νεν. ἡ δὲ παρ' αὐτῷ ἐργάζετο πολλῷ κοσμίῳ καὶ σωφρο-
σύνῃ πολλῇ χρωμένη, καὶ τῷ φημίῳ κάρτα ἠρέσκετο.
τέλος δὲ προσηνέγκατο αὐτῇ λόγους πείθων ἑωυτῷ συνοι-
κεῖν, ἄλλα τε πολλὰ λέγων, οἷς μιν ᾤετο προσάξεσθαι. καὶ
ἔτι περὶ τοῦ παιδὸς υἱὸν ποιούμενος. καὶ ὅτι τραφεὶς καὶ
παιδευθεὶς παρ' αὐτοῦ ἄξιος λόγου ἔσται. ἑώρα γὰρ τὸν παῖδα
ἐόντα συνετὸν καὶ κάρτα εὐφυέα, ἔς τ' ἀνέπεισεν αὐτὴν
ποιεῖν ταῦτα. ὁ παῖς δὲ ἦν τε φύσιν ἔχων ἀγαθὴν, ἐπιμε-
λίης τε καὶ παιδεύσιος προσγινομένης αὐτίκα πολλὸν τῶν
πάντων ὑπερεῖχε. χρόνου δὲ ἐπιγενομένου ἀνδρούμενος, οὐ-
δὲν τοῦ φημίου ὑποδεέστερος ἦν ἐν τῇ διδασκαλίᾳ. καὶ οὕτως
ὁ φήμιος ἐτελεύτησε τὸν βίον, καταλιπὼν πάντα τῷ παι-
δί. οὐ πολλῷ δὲ ὕστερον καὶ ἡ κριθηῒς ἐτελεύτησεν. ὁ δὲ μελη-
σιγενὴς ἐπὶ τῇ διδασκαλίῃ καθεστήκει, καθ' ἑωυτὸν δὲ γενό-

# ΗΡΟΔΟΤΟΥ ΑΛΙΚΑΡΝΑΣΗΟΣ ΕΞΗΓΗΣΙΣ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΓΕΝΕΣΙΟΣ ΚΑΙ ΒΙΟΤΗΣ.

ἡ

ρόδοτος ὁ ἁλικαρνασσεὺς περὶ ὁμήρου γενέσιος, καὶ ἡλικίης καὶ βιοτῆς, τάδε ἱστόρηκε, ζητήσας ἐπεξελθεῖν εἰς τὸ ἀτρεκέστατον. ἐπεὶ γὰρ τὸ πάλαι αἰολῶτις κύμη ἐκτίζετο, συνῆλθον ἐν ταυτῷ παντοδαπὰ ἔθνεα ἑλληνικά, καὶ δὴ καὶ ἐκ μαγνησίης, ἄλλοι τέ τινες, καὶ μελάνωπος ὁ ἰθαγενέος τοῦ κρίθωνος, οὐ πολύφορτος, ἀλλὰ βραχέα τοῦ βίου ἔχων. οὗτος δὲ ὁ μελάνωπος ἔγημεν ἐν τῇ κύμῃ τὴν θυγατέρα ὁ μύρητος, καὶ αὐτῷ γίνεται ἐκ κοίτης θῆλυ τέκνον, ᾧ ὄνομα τίθεται κριθηΐς. καὶ αὐτὸς μὲν ὁ μελάνωπος καὶ ἡ γυνὴ αὐτοῦ, ἐτελεύτησαν τὸν βίον. τὴν δὲ θυγατέρα ἐπιτρέπει ἀνδρὶ, ᾧ ἐχρῆτο μάλιστα κλεάνακτι τῷ ἀργείῳ. χρόνου δὲ προϊόντος συνέβη τὴν παῖδα μιγεῖσαν ἀνδρὶ λαθραίως ἐν γαστρὶ σχεῖν. τὰ μὲν οὖν πρῶτα ἐλάνθανεν. ἐπεὶ δὲ ᾔσθετο ὁ κλεάναξ, ἤχθετο τῇ συμφορῇ καὶ καλεσάμενος τὴν κριθηΐδα χωρὶς πάντων ἐν αἰτίῃ μεγάλῃ εἶχεν, ἐπιλεγόμενος τὴν αἰσχύνην τὴν πρὸς τοὺς πολίτας. προβουλεύεται δὲ περὶ αὐτῆς τάδε. ἔτυχον οἱ κυμαῖοι κτίζοντες τοῦ ἑρμείου κόλπου τὸν μυχόν. κτιζομένοισι δὲ τὴν πόλιν σμύρναν ἔθετο τὸ ὄνομα θησεὺς μνημεῖον ἐθέλων καταστῆσαι τῆς ἑωυτοῦ γυναικὸς ἐπώνυμον· ἦν γὰρ αὐτῇ τοὔνομα σμύρνη. ὁ δὲ θησεὺς ἦν τῶν τὴν κύμην κτισάντων ἐν τοῖς πρώτοις θεσσαλῶν ἀπὸ εὐμήλου τοῦ ἀδμήτου, κάρτα εὖ ἔχων τοῦ βίου,

EX BIBLIOTHECA OLDENBURGENSI.

Landesbibliothek Oldenburg

μενος, μᾶλλον ὑπὸ τῶν ἀνθρώπων ἑωρᾶτο· καὶ αὐτὸν θωυ-
μαστῶς κατειστήκεισαν οἵτε ἐγχώριοι, καὶ τῶν ξένων οἱ ἐσα-
πικνεόμενοι· ἐμπόριον γὰρ ἦν ἡ σμύρνη, καὶ σῖτος ἐξήγε-
το πολὺς αὐτόθι ἐκ τῆς ἐπικειμένης χώρας δαψιλέως
κάρτα ἐσαγόμενος ἐς αὐτήν. οἱ δὲ ξένοι ὁκότε παύσαιν-
το τῶν ἔργων, ἀπεσχόλαζον παρὰ τῷ μελησιγενεῖ ἐγκα-
θίζοντες· ἦν δὲ ἐν αὐτοῖς τότε καὶ μέντης ναύκληρος
ἀπὸ τῶν περὶ λευκάδα τόπων καταπεπλευκὼς ἐπὶ σῖτον
ἔχων ναῦν, πεπαιδευμένος τε ἀνὴρ ὡς ἐν ἐκείνῳ τῷ χρό-
νῳ καὶ πολυΐστωρ, ὅς μιν ἔπεισε τὸν μελησιγενῆ μεθ'
ἑωυτοῦ πλεῖν, καταλύσαντα τὴν διδασκαλίαν, μισθόν
τε λαμβάνοντα, καὶ τὰ δέοντα πάντα, καὶ ὅτι χώρας
καὶ πόλιας θεήσασθαι ἄξιον εἴη αὐτῷ ἕως νέος ἐστί· καί
μιν οἴομαι μάλιστα τούτοισι προαχθῆναι· ἴσως γὰρ καὶ
τῇ ποιήσει τότε ἐπενόει ἐπιθήσεσθαι· καταλύσας δὲ τὴν
διδασκαλίαν, ἐναυτίλλετο μετὰ τοῦ μέντεω· καὶ ὅπου
ἑκάστοτε ἀφίκοιτο πάντα τὰ ἐπιχώρια διεωρᾶτο, καὶ
ἱστορέων ἐπυνθάνετο· εἰκὸς δέ μιν ἦν καὶ μνημόσυνα
πάντων γράφεσθαι· ἀνακομιζόμενοι δὲ ἐκ τυρσηνίας
καὶ τῆς ἰβηρίης, ἀπικνέονται ἐς ἰθάκην· καὶ τῷ μελη-
σιγενεῖ συνέβη νοσήσαντι τοὺς ὀφθαλμοὺς κάρτα δεινῶς
ἔχειν, καὶ αὐτὸν θεραπείης ἕνεκα πλεῖν μέλλων ἐς τὴν
λευκάδα καταλιπεῖν ὁ μέντης παρὰ ἀνδρὶ φίλῳ ἑωυ-
τοῦ ἐς τὰ μάλιστα μέντορι τῷ ἀλκίμου ἰθακησίῳ πολ-
λὰ δεηθεὶς ἐπιμελείην ἔχειν· ἐπαναπλώσας δὲ ἀναλή-
ψεσθαι αὐτόν. ὁ δὲ μέντωρ ἐνοσήλευσεν αὐτὸν ἐκτενέως·
καὶ γὰρ τοῦ βίου ἀρκεόντως εἶχε, καὶ ἤκουεν εὖ ἐς δικαιοσύ-
νην τε καὶ φιλοξενίην μακρῷ μάλιστα τῶν ἐν ἰθάκῃ ἀν-
δρῶν. ἐνταῦθα συνέβη τῷ μελησιγενεῖ περὶ ὀδυσσέως
ἐξιστορῆσαι πυθέσθαι. οἱ μὲν δὴ ἰθακήσιοι λέγουσι τότε

μιν παρ' ἑωυτοῖς τυφλωθῆναι, ὡς δὲ ἐγώ φημι τότε μὲν ὑγιῆ γενέσθαι· ὕστερον δὲ ἐν κολοφῶνι τυφλωθῆναι. συνομολογοῦσι δέ μοι καὶ κολοφώνιοι τούτοις. ὁ δὲ μέντης ἀναπλέων ἐκ τῆς λευκάδος προσέσχεν εἰς τὴν ἰθάκην καὶ ἀνέλαβε τὸν μελησιγενέα, χρόνον τε ἐπὶ συχνὸν συμπεριέπλει αὐτῷ, ἀπικομένῳ δὲ ἐς κολοφῶνα συνέβη πάλιν νοσήσαντα τοὺς ὀφθαλμοὺς, μὴ δύνασθαι διαφυγεῖν τὴν νόσον, ἀλλὰ τυφλωθῆναι ἐνταῦθα. ἐκ δὲ τῆς κολοφῶνος τυφλὸς ἐὼν ἀπικνέεται ἐς τὴν σμύρναν, καὶ οὕτως ἐπεχείρει τῇ ποιήσει. χρόνου δὲ προϊόντος ἐν τῇ σμύρνῃ ἄπορος ἐὼν τοῦ βίου, διενοήθη ἀπικέσθαι ἐς κύμην. πορευόμενος δὲ διὰ τοῦ ἕρμου πεδίου, ἀπικνέεται ἐς νέον τεῖχος ἀποικίην κυμαίων. ᾠκίσθη δὲ τοῦτο τὸ χωρίον ὕστερον κύμης ἔτεσιν ὀκτώ. ἐνταῦθα λέγεται αὐτὸν ἐπιστάντα ἐπὶ σκυτεῖόν τι εἰπεῖν πρῶτα τὰ ἔπεα τάδε·

Αἰδεῖσθε ξενίων κεχρημένον ἠδὲ δόμοιο,
οἳ πόλιν αἰπεινὴν κύμην ἐριώπιδα κούρην
ναίετε σαρδήνης πόδα νείατον ὑψικόμοιο,
ἀμβρόσιον πίνοντες ὕδωρ θείου ποταμοῖο
ἕρμου δινήεντος, ὃν ἀθάνατος τέκετο ζεύς.

Ἡ δὲ σαρδήνη ὄρος ἐστὶν ὑπερκείμενον τοῦ τε ἕρμου ποταμοῦ καὶ τοῦ νέου τείχους, τῷ δὲ σκυτεῖ ὄνομα ἦν τύχιος. (Τύχιος) ἀκούσαντι δὲ τῶν ἐπέων, ἔδοξεν αὐτῷ δέξασθαι τὸν ἄνθρωπον· ἠλέησε γὰρ ἀλγέοντα τυφλὸν καὶ μεθέξειν ἔφη τῶν παρεόντων. ὁ δὲ ἐσῆλθε, κατεζόμενος δὲ ἐν τῷ σκυτείῳ παρεόντων καὶ ἄλλων τήν τε ποίησιν αὐτοῖς ἐπεδείκνυτο, ἀμφιάρεώ τε τὴν ἐξελασίαν τὴν ἐς θήβας καὶ τοὺς ὕμνους τοὺς ἐς θεοὺς πεποιημένους αὐτῷ, καὶ περὶ τῶν λεγομένων ὑπὸ τῶν παρεόντων ἐς τὸ μέσον γνώμας ἀποφαινόμενος, θωύματος ἄξιος ἐφαίνετο εἶναι τοῖς ἀκού-



Landesbibliothek Oldenburg

ουσι. τέως μὲν οὖν κατεῖχεν ὁ Μελησιγένης περὶ τὸ νέον τεῖχος ἀπὸ τῆς ποιήσιος γε τοῦ βίου τὴν μηχανὴν ἔχων· ἐδείκνυον δὲ οἱ νεοτειχεῖς μέχρις ἐπ' ἐμοῦ τὸν χῶρον, ἐν ᾧ κατίζων τῶν ἐπέων τὴν ἐπίδειξιν ἐποιέετο, καὶ κάρτα ἐσέβοντο τὸν τόπον, ἐν ᾧ καὶ αἴγειρος ἐπεφύκει, ἣν ἐκεῖνοι ἔφασαν, ἀφ' οὗ ὁ Μελησιγένης ἦλθεν αὐτοῖς πεφυκέναι. χρόνου δὲ προϊόντος ἀπόρως ἥμενος, καὶ μόλις τὴν τροφὴν ἔχων, ἐπενοήθη ἐς τὴν Κύμην ἀπικέσθαι, ὅτι βέλτιον πρήξει. μέλλων δὲ ὁρμᾶσθαι τάδε τὰ ἔπεα λέγει.

Αἶψα πόδες με φέροιεν ἐς αἰδοίων πόλιν ἀνδρῶν.
τῶν γὰρ καὶ θυμὸς πρόφρων καὶ μῆτις ἀρίστη.

Ἀπὸ δὲ τοῦ νέου τείχεος πορευόμενος, ἀπίκετο ἐς τὴν Κύμην διὰ Λαρίσης τὴν πορείαν ποιησάμενος. ἦν γὰρ οὕτως αὐτῷ εὐπορώτατον. καὶ ὡς Κυμαῖοι λέγουσι τῷ Φρυγίης βασιλῆϊ Μίδῃ τῷ Γορδίεω, δεηθέντων πενθερῶν αὐτοῦ, ποιεῖ καὶ ἐπίγραμμα τόδε, ὃ ἔτι καὶ νῦν ἐπὶ τῆς στήλης τοῦ μνήματος τοῦ Γορδίεω ἐπιγέγραπται.

Αλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματι κεῖμαι,
ἔστ' ἂν ὕδωρ τε ῥέοι, καὶ δένδρεα μακρὰ τεθήλοι,
ἠέλιός τ' ἀνιὼν λάμποι, λαμπρά τε σελήνη.
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι Μίδης ὅτι τῇδε τέθαπται.

Κατίζων δὲ ἐν ταῖς λέσχαις τῶν γερόντων ἐν τῇ Κύμῃ ὁ Μελησιγένης τὰ ἔπεα τὰ πεποιημένα αὐτῷ ἐπεδείκνυτο, καὶ ἐν τοῖς λόγοις ἔτερπε τοὺς ἀκούοντας, καὶ αὐτοῦ θωυμασταὶ καθεστήκεισαν. γνοὺς δὲ ὅτι ἀποδέχονται αὐτοῦ τὴν ποίησιν οἱ Κυμαῖοι, καὶ εἰς συνήθειαν ἕλκων τοὺς ἀκούοντας, λόγους πρὸς αὐτοὺς τοιούσδε προσήνεγκε, λέγων ὡς εἰ θέλοιεν αὐτὸν δημοσίῃ τρέφειν, ἐπικλεεστάτην αὐτῶν τὴν πόλιν ποιήσει. τοῖς δὲ ἀκούουσι, βουλομένοις τε ἦν ταῦτα

καὶ αὐτοὶ παρῄνεον, ἐλθόντα ἐπὶ τὴν βουλὴν δεηθῆναι τῶν βουλευτέων· καὶ αὐτοὶ ἔφασαν συμπρήξειν. ὁ δὲ ἐπείθετο αὐτοῖς, καὶ βουλῆς συλλεγομένης ἐλθὼν ἐπὶ τὸ βουλαῖον, ἐδέετο τοῦ ἐπὶ τῇ τιμῇ ταύτῃ καθεστῶτος ἀπαγαγεῖν αὐτὸν ἐπὶ τὴν βουλήν. ὁ δὲ ὑπεδέξατό τε, καὶ ἐπεὶ καιρὸς ἦν, ἀπήγαγε. καταστὰς δὲ ὁ μελησιγενὴς, ἔλεξε περὶ τῆς τροφῆς τὸν λόγον, ὃν καὶ ἐν ταῖς λέσχαις ἔλεγεν. ὡς δὲ εἶπεν ἐξελθὼν ἐκάθητο. οἱ δὲ ἐβουλεύοντο, ὅτι χρεὼν εἴη ἀποκρίνασθαι αὐτῷ. προθυμουμένου δὲ τοῦ ἀπάγοντος αὐτὸν, καὶ ἄλλων ὅσοι τῶν βουλευτέων ἐν ταῖς λέσχαις ἐπήκοοι ἐγένοντο, τῶν βουλευτέων ἕνα λέγεται ἐναντιωθῆναι τῇ χρήμῃ αὐτοῦ, ἄλλα τε πολλὰ λέγοντα, καὶ ὡς εἰ τοὺς ὁμήρους δόξει τρέφειν αὐτοῖς, ὅμιλον πολλόν τε καὶ ἀχρεῖον ἕξουσιν. ἐντεῦθεν δὲ καὶ τοὔνομα ὅμηρος ἐπεκράτησε τῷ μελησιγενεῖ ἀπὸ τῆς συμφορῆς. οἱ γὰρ κυμαῖοι τοὺς τυφλοὺς ὁμήρους λέγουσιν· ὥστε πρότερον ὀνομαζομένου αὐτοῦ μελησιγενέος τοῦτο γενέσθαι τοὔνομα ὅμηρος. καὶ οἱ ξένοι διήνεγκαν ὅτε μνήμην αὐτοῦ ἐποιοῦντο. ἐτελεύτα δ' οὖν ὁ λόγος τῷ ἄρχοντι μὴ τρέφειν τὸν ὅμηρον. ἔδοξε δέ πως τῇ ἄλλῃ βουλῇ. ἐπελθὼν δὲ ὁ ἐπιστάτης καὶ παρεζόμενος αὐτῷ διηγήσατο τοὺς ἐναντιωθέντας λόγους τῇ χρήμῃ αὐτοῦ, καὶ τὰ δόξαντα τῇ βουλῇ. ὁ δὲ ὡς ἤκουσεν ἐσυμφόρηνέ τε, καὶ λέγει τὰ ἔπεα τάδε.

Οἵῃ μ' αἴσῃ δῶκε πατὴρ ζεὺς κύρμα γενέσθαι
νήπιον αἰδοίης ἐπὶ γούνασι μητρὸς ἀτάλλων
ἥν ποτ' ἐπύργωσαν βουλῇ διὸς αἰγιόχοιο,
λαοὶ φρίκωνος μάργων ἐπιβήτορες ἵππων.
ὁπλότεροι μαλεροῖο πυρὸς κρίνοντες ἄρηα
αἰολίδα σμύρνην ἁλιγείτονα ποτνιάνακτον,
ἥντε δι' ἀγλαὸν εἶσιν ὕδωρ ἱεροῖο μέλητος,

ἔνθεν ἀπορνύμεναι κοῦραι Διὸς ἀγλαὰ τέκνα,
ἤθελέτην κλῇσαι δίαν χθόνα καὶ πόλιν ἀνδρῶν·
οἱ δ' ἀπανηνάσθην ἱερὴν ὄπα φημὶ ἀοιδήν.
ἀφραδίῃ τῶν μέν τε παθών τις φράσσεται αὖθις·
ὅς σφιν ὀνείδεσιν ἐμὸν διεμήσατο πότμον.
κῆρα δ' ἐγὼ τήν μοι θεὸς ὤπασε γεινομένῳ περ,
τλήσομαι ἀκράαντον φέρων τετληότι θυμῷ·
οὐδέ τι μοι φίλα γυῖα μένειν ἱεραῖς ἐν ἀγυιαῖς,
Κύμης ὁρμαίνουσι, μέγας δέ μοι θυμὸς ἐπείγει
δῆμον ἐς ἀλλοδαπῶν ἰέναι ὀλίγον περ ἐόντα.

Μετὰ τοῦτο ἀπαλλάσσεται ἐκ τῆς Κύμης ἐς Φωκαίην, Κυμαίοισιν ἐπαρησάμενος μηδένα ποιητὴν δόκιμον ἐν τῇ χώρῃ γενέσθαι, ὅστις Κυμαίους ἐπαγλαϊεῖ. ἀπικόμενος δὲ ἐς Φωκαίην, τῷ αὐτῷ τρόπῳ ἐβιότευσεν ἔπεα ἐνδεικνύμενος ἐν ταῖς λέσχαις κατίζων. ἐν δὲ τῇ Φωκαίῃ τοῦτον τὸν χρόνον Θεστορίδης τις ἦν γράμματα διδάσκων τοὺς παῖδας, ἀνὴρ οὐ χρηστός. κατανοήσας δὲ τοῦ Ὁμήρου τὴν ποίησιν, λόγους τοιούσδε αὐτῷ προσήνεγκε, φὰς ἕτοιμος εἶναι θεραπεύειν καὶ τρέφειν αὐτὸν ἀναλαβὼν, εἰ ἐθέλοι ἅ γε πεποιημένα εἴη αὐτῷ τῶν ἐπέων ἀναγράψασθαι· καὶ ἄλλα ποιῶν, πρὸς ἑωυτὸν ἀναφέρειν αἰεί. τῷ δὲ Ὁμήρῳ ἀκούσαντι, ἔδοξε ποιητέα εἶναι ταῦτα. ἐνδεὴς γὰρ ἦν τῶν ἀναγκαίων καὶ θεραπείης. διατρίβων δὲ παρὰ τῷ Θεστορίδῃ, ποιεῖ Ἰλιάδα τὴν ἐλάσσω, ἧς ἡ ἀρχή·

Ἴλιον ἀείδω, καὶ Δαρδανίην εὔπωλον·
ἧς πέρι πολλὰ πάθον Δαναοὶ θεράποντες Ἄρηος.

Καὶ τὴν καλουμένην Φωκαΐδα, ἥν φασιν οἱ Φωκαεῖς Ὅμηρον παρ' αὐτοῖσι ποιῆσαι. ἐπεὶ δὲ τήν τε Φωκαΐδα καὶ τἆλλα πάντα παρὰ τοῦ Ὁμήρου ὁ Θεστορίδης ἐγράψατο, διενοήθη ἐκ τῆς Φωκαίης ἀπαλλάσσεσθαι, τὴν ποίησιν θέλων

τοῦ ὁμήρου ἐξιδιώσασθαι, καὶ οὐκ ἔτι ὁμοίως ἐν ἐπιμελείῃ εἶχε τὸν ὅμηρον. ὁ δὲ λέγει αὐτῷ τὰ ἔπεα τάδε·

Θεστορίδη, θνητοῖσιν ἀνωΐστων πολέων περ,
οὐδὲν ἀφραστότερον πέλεται νόου ἀνθρώποισιν.

Ὁ μὲν δὴ θεστορίδης ἐκ τῆς φωκαίης ἀπηλλάγη ἐς τὴν χίον. καὶ διδασκαλίην κατεσκευάσατο, καὶ τὰ ἔπεα ἐπιδεικνύμενος ὡς ἑωυτοῦ ἐόντα, ἔπαινόν τε πολλὸν εἶχε, καὶ ὠφελεῖτο. ὁ δὲ ὅμηρος, πάλιν τὸν αὐτὸν τρόπον διῃτᾶτο ἐν τῇ φωκαίῃ, ἀπὸ τῆς ποιήσιος τὴν βιοτὴν ἔχων. χρόνῳ δὲ οὐ πολλῷ μετέπειτα ἄνδρες χῖοι ἔμποροι ἀπίκοντο ἐς τὴν φωκαίην. ἀκούσαντες δὲ τῶν ἐπέων τοῦ ὁμήρου, ἃ πρότερον ἀκηκόεσαν πολλάκις ἐν τῇ χίῳ τοῦ θεστορίδεω, ἐξήγγελλον ὅτι ἐν τῇ χίῳ τις ἐπιδεικνύμενος τὰ ἔπεα ταῦτα γραμμάτων διδάσκαλος κάρτα πολλὸν ἔχει. ὁ δὲ ὅμηρος κατενόησεν, ὅτι θεστορίδης ἂν εἴη. καὶ παντὶ θυμῷ ἐσπούδαζεν εἰς τὴν χίον ἀπικέσθαι. καταβὰς δὲ ἐπὶ τὸν λιμένα, ἐς μὲν τὴν χίον οὐ καταλαμβάνει οὐδὲν πλοῖον πλέον, ἐς δὲ τὴν ἐρυθραίαν τινὲς ἐπὶ ξύλα παρεσκευάζοντο πλεῖν. καλῶς δὲ εἶχε τῷ ὁμήρῳ δι' ἐρυθραίης τὸν πλοῦν ποιήσασθαι. καὶ προσελθὼν ἔχρηζε παρὰ τῶν ναυτέων δέξασθαι αὐτὸν σύμπλουν, πολλά τε προσαγωγὰ λέγων, οἷς σφέας ἔμελλε πείσειν. τοῖς δὲ ἔδοξε δέξασθαι αὐτόν, καὶ ἐκέλευον ἐσβαίνειν ἐς τὸ πλοῖον. ὁ δὲ ὅμηρος πολλὰ ἐπαινέσας αὐτοὺς ἐσέβη. καὶ ἐπέζετο, λέγει τὰ ἔπεα τάδε·

Κλῦθι ποσειδάων μεγαλοσθενὲς ἐννοσίγαιε,
εὐρυχόρου μεδέων ἠδὲ ξανθοῦ ἑλικῶνος·
δὸς δ' οὖρον καλὸν καὶ ἀπήμονα νόστον ἰδέσθαι
ναύταις, οἳ νηὸς πομποὶ ἠδ' ἀρχοὶ ἔασι.
δὸς δ' ἐς ὑπώρειαν ὑψικρήμνοιο μίμαντος,

αἰδοῖον μ' ἐλθόντα βροτῶν ὁσίων κυρῆσαι.
φῶτά τε τισαίμην ὅς ἐμὸν νόον ἠπεροπεύσας,
ὠλύσατο ζῆνα ξένιον ξενίην τε τράπεζαν.

Ἐπεὶ δὲ ἀπίκοντο ἀποπλεύσαντες ἐς τὴν ἐρυθραίην, τότε ὅμηρος τὴν αὐλὴν ἐπὶ τῷ πλοίῳ ἐποιήσατο. τῇ δὲ ὑστεραίῃ, ἔχρηζε τῶν ναυτέων τινὰ ἡγήσασθαι αὐτῷ ἐς τὴν πόλιν. οἱ δὲ συνέπεμψαν ἕνα αὐτῶν. πορευόμενος δὲ ὅμηρος ἐπέτυχε τῆς ἐρυθραίης τραχέης καὶ ὀρεινῆς ἐούσης φθέγγεται τάδε ἔπεα.

Πότνια γῆ πάνδωρε δότειρα μελίφρονος ὄλβου,
ὡς ἄρα δὴ τοῖς μὲν, φωτῶν εὔοχθος ἐτύχθης.
τοῖσι δὲ δύσβωλος καὶ τρηχεῖ' οἷς ἐχολώθης.

Ἀπικόμενος δὲ ἐς τὴν πόλιν τῶν ἐρυθραίων ἐπηρώτησε περὶ τοῦ ἐς τὴν χίον πλοῦ. καί τινος προσελθόντος αὐτῷ τῶν ἑωρακότων ἐν τῇ φωκαίῃ καὶ ἀσπασαμένου, ἐχρήιζεν αὐτοῦ συνεξευρεῖν αὐτῷ πλοῖον, ὅπως ἂν ἐς τὴν χίον διαβαίη. ἐκ μὲν δὴ τοῦ λιμένος οὐδὲν ἦν ἀπόστολον. ἄγει δὲ αὐτὸν ἔνθα τῶν ἁλιέων τὰ πλοῖα ὁρμίζεται. καί πως ἐντυγχάνει μέλλουσι τισὶ διαπλεῖν ἐς τὴν χίον, ὧν ἐδέετο προσελθὼν ὁ ἄγων αὐτὸν ἀναλαβεῖν τὸν ὅμηρον. οἱ δὲ, οὐδένα λόγον ποιησάμενοι ἀνήγοντο. ὁ δὲ ὅμηρος φθέγγεται τάδε τὰ ἔπεα.

Ναῦται ποντοπόροι στυγερῇ ἐναλίγκιοι ἄτῃ.
πτωχάσιν αἰθυίῃσιν βίον δύσζηλον ἔχοντες.
αἰδεῖσθε ξενίοιο διὸς σέβας ὑψιμέδοντος.
δεινὴ γὰρ μέτοπις ξενίου διός, ὅς κ' ἀλίτηται.

Ἀναχθεῖσι δὲ αὐτοῖς, συνέβη ἐναντίου ἀνέμου γενομένου παλινδρομῆσαι, καὶ ἐς τὸ χωρίον ἀναδραμεῖν, ὅθεν ἀνήγοντο. καὶ τὸν ὅμηρον ἀναλαβεῖν καθήμενον ἐπὶ τῆς κυματωγῆς. μαθὼν δὲ αὐτοὺς πεπαλινδρομηκότας,

ἔλεξε τάδε·

Ὑμᾶς ὦ ξεῖνοι ἔλαβεν ὁ ἄνεμος ἀντίος γενόμενος·
ἀλλ' ἔτι καὶ νῦν με δέξασθε, καὶ ὁ πλοῦς ὑμῖν ἔσται.

Οἱ δὲ ἁλιεῖς ἐν μεταμελείῃ γενόμενοι ὅτι οὐ πρότερον ἐδέξαντο, εἰπόντες ὅτι οὐ καταλιμπάνουσιν ἢν ἐθέλοι συμπλεῖν, ἐκέλευον ἐσβαίνειν. καὶ οὕτως ἀναλαβόντες αὐτὸν ἀνήχθησαν, καὶ ἴσχουσιν ἐπ' ἀκτῆς. οἱ μὲν δὴ ἁλιεῖς πρὸς ἔργον ἐτράπησαν. ὁ δὲ ὅμηρος τὴν νύκτα ἐπὶ τοῦ αἰγιαλοῦ κατέμεινε. τὴν δὲ ἡμέραν πορευόμενος, καὶ πλανώμενος, ἀφίκετο εἰς τὸ χωρίον, ὃ πίτυς καλεῖται. κἀνταῦθα αὐτῷ ἀναπαυομένῳ τὴν νύκτα, ἐπιπίπτει καρπὸς τῆς πίτυος· ὃν δὴ μετεξέτεροι, στρόβιλον, οἱ δὲ, κῶνον καλέουσιν. ὁ δὲ ὅμηρος φθέγγεται τὰ ἔπη τάδε·

Ἄλλη τίς σου πεύκη ἀμείνονα καρπὸν ἵησιν·
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ἠνεμοέσσης·
ἔνθα σίδηρος ἄρηος ἐπιχθονίοισι βροτοῖσιν
ἔσεται εὖτ' ἄν μιν κεβρήνιοι ἄνδρες ἔχωσι.

Τὰ δὲ κεβρήνια τοῦτον τὸν χρόνον κτίζειν οἱ κυμαῖοι παρεσκευάζοντο πρὸς τῇ ἴδῃ, καὶ γίνεται αὐτόθι σίδηρος. ἐντεῦθεν ἀναστὰς ὅμηρος, ἐπορεύετο κατὰ φωνήν τινα αἰγῶν νεμομένων. ὡς δὲ ὑλάκτεον αὐτὸν οἱ κύνες, ἀνέκραγεν. ὁ γλαῦκος, ὡς ἤκουσε τῆς φωνῆς (ἦν γὰρ τοῦτο ὄνομα τῷ νέμοντι τὰς αἶγας) ἐπέδραμεν ὀραλέως, τάς τε κύνας ἀνεκαλεῖτο, καὶ ἀπεσόβησεν ἀπὸ τοῦ ὁμήρου. ἐπὶ πολὺν δὲ χρόνον ἐν θώματι ἦν, ὅπως τυφλὸς ὢν, μόνος ἀφίκοιτο ἐς τοιούτους χώρους· καὶ ὅτι θέλων, προσελθών τέ μιν ἱστόρεεν ὅστις τε ἦν, καὶ τίνι τρόπῳ ἀφίκοιτο ἐς τόπους ἀοικήτους, καὶ ἀστιβέα χωρία· καὶ τίνος κεχρημένος εἴη. ὁ δὲ ὅμηρος αὐτῷ πᾶσαν τὴν ἑωυτοῦ πάθην καταλεγόμενος, εἰς οἶκτον προηγάγετο, ἦν γὰρ ὡς ἔοι-

κεν οὐ δ' ἀγνώμων ὁ γλαῦκος. ἀναλαβὼν δὲ αὐτὸν ἀνήγαγεν ἐπὶ τὸν σταθμόν. πῦρ δὲ ἀνακαύσας, δεῖπνον παρασκευάζει. καὶ παραθεὶς, δειπνεῖν ἐκέλευεν ὁ γλαῦκος. τῶν δὲ κυνῶν μὴ ἐσθιόντων, καὶ ὑλακτεόντων δειπνεῦντα καθάπερ εἰώθεσαν, λέγει πρὸς τὸν γλαῦκον ὅμηρος τὰ ἔπεα τάδε.

Γλαῦκε πέπων ἐπιών τι ἔπος τοι ἐνὶ φρεσὶ θήσω,
πρῶτον μὲν κυσὶ δεῖπνον ἐπ' αὐλείῃσι θύρῃσι
δοῦναι. ὣς γὰρ ἄμεινον. ὁ γὰρ καὶ πρῶτον ἀκούει
ἀνδρὸς ἐπερχομένου, καὶ ἐς ἕρκεα θηρὸς ἰόντος.

Ταῦτα ἀκούσας ὁ γλαῦκος, ἥσθη τῇ παραινέσει, καὶ ἐν θώματι εἶχεν αὐτόν. δειπνήσαντες δὲ διὰ λόγων ἐσιῶντο. ἀπηγεομένου δὲ ὁμήρου τήν τε πλάνην τὴν ἑωυτοῦ, καὶ τὰς πόλεις, ἃς ἐσαπίκοιτο, ἔκπληκτος ἦν ὁ γλαῦκος ἀκούων. καὶ τότε μὲν ἐπεὶ ὥρη κοίτου ἦν, ἀνεπαύετο. τῇ δ' ὑστεραίῃ διενοήθη ὁ γλαῦκος πρὸς τὸν δεσπότην πορευθῆναι σημανέων τὰ περὶ ὁμήρου. ἐπιτρέψας δὲ τῷ συνδούλῳ νέμειν τὰς αἶγας, τὸν ὅμηρον καταλείπει ἔνδον φὰς πρὸς αὐτόν, ὅτι διὰ ταχέων πορεύσομαι. καταβὰς δὲ ἐς Βολισσὸν (ἔστι δὲ πλησίον τοῦ χωρίου τούτου) καὶ συγγενόμενος τῷ δεσπότῃ, ἀπηγέετο ὑπὲρ ὁμήρου πᾶσαν τὴν ἀλήθειαν, περί τε αὐτοῦ τῆς ἀφίξιος ἐν θώματι ποιεύμενος ἠρώτεέ τε ὅ,τι χρὴ ποιέειν περὶ αὐτοῦ. ὁ δὲ ὀλίγα μὲν προσίετο τῶν λόγων, κατεγίνωσκε δὲ τοῦ γλαύκου, ὡς ἄφρονος ἐόντος, καὶ τοὺς ἀναπήρους δεχομένου, καὶ τρέφοντος. ἐκέλευσε δὲ ὅμως τὸν ξεῖνον ἄγειν πρὸς ἑαυτόν. ἐλθὼν δὲ πρὸς τὸν ὅμηρον, διηγήσατο ταῦτα ὁ γλαῦκος, καὶ ἐκέλευσε πορεύεσθαι τοῦτον. οὕτω γὰρ εὖ πρήξειν. ὁ δὲ ὅμηρος ἤθελε πορεύεσθαι. ἀναλαβὼν δὲ αὐτὸν ὁ γλαῦκος, ἤγαγε πρὸς τὸν δεσπότην. διὰ λόγων δὲ ἰὼν τῷ ὁμή-

Landesbibliothek Oldenburg

φῳ ὁ χῖος, εὑρίσκει ἐόντα δεξιόν, καὶ πολλῶν ἔμπειρον, ἔπεισέ τε αὐτὸν μένειν, καὶ τῶν παιδίων ἐπιμέλειαν ποιέεσθαι. ἦσαν γὰρ τῷ χίῳ παῖδες ἐν ἡλικίῃ. τούτους οὖν αὐτῷ παρατίθησι παιδεύειν. ὁ δὲ ἔπρηξε ταῦτα, καὶ τοὺς κέρκωπας, καὶ βατραχομυομαχίαν, καὶ ἐπικιχλίδας, καὶ τἄλλα πάντα ὅσα παίγνιά ἐστιν ὁμήρου ἐνταῦθα ἐποίησε παρὰ τῷ χίῳ ἐν βολισσῷ, ὥστε καὶ ἐν τῇ πόλει περιβόητος ἤδη ἐγένετο ἐν τῇ ποιήσει. καὶ ὁ μὲν θεστορίδης ὡς τάχιστα ἐπύθετο αὐτὸν παρεόντα, ᾤχετο ἐκπλέων ἐκ τῆς χίου. χρόνου δὲ προϊόντος, δεηθεὶς τοῦ χίου πορεῦσαι αὐτὸν εἰς τὴν χίον, ἀπίκετο εἰς τὴν πόλιν. καὶ διδασκαλεῖον κατασκευασάμενος ἐδίδασκε παῖδας τὰ ἔπεα. καὶ κάρτα δεξιὸς ἐδόκεεν εἶναι τοῖς χίοις, καὶ πολλοὶ θωυμασταὶ αὐτοῦ καθειστήκεσαν. συλλεξάμενος δὲ βίον ἱκανόν, γυναῖκα ἔγημεν, ἐξ ἧς αὐτῷ θυγατέρες δύω ἐγένοντο, καὶ ἡ μὲν αὐτῶν, ἄγαμος ἐτελεύτησε, τὴν δὲ, συνῴκισεν ἀνδρὶ χίῳ. ἐπιχαρήσας δὲ τῇ ποιήσει, ἀπέδωκε χάριν, ἣν εἶχε. πρῶτον μὲν μέντορι τῷ ἰθακησίῳ ἐν τῇ ὀδυσσείᾳ, ὅτι μιν κάμνοντα τοὺς ὀφθαλμοὺς ἐν ἰθάκῃ ἐνοσήλευεν, ἐντείνας τοὔνομα αὐτοῦ ἐναρμόσας ἐς τὴν ποίησιν. ὀδυσσέως τε ἑταῖρον φὰς εἶναι, ποιήσας ὀδυσσέα ὡς ἐς τροίην ἔπλεε, μέντορι ἐπιτρέψαι τὸν οἶκον ἐόντι ἰθακησίων ἀρίστῳ, καὶ δικαιοτάτῳ. πολλαχῇ δὲ καὶ ἄλλῃ τῆς ποιήσεως τιμῶν αὐτὸν, τὴν ἀθηνᾶν ὁπότε ἐς λόγον τινὶ καθίσταται τῷ μέντορι εἰκυῖην ποιεῖ. ἀπέδωκε δὲ καὶ φημίῳ τῷ ἑαυτοῦ διδασκάλῳ τροφεῖα, καὶ διδασκαλεῖα ἐν τῇ ὀδυσσείᾳ, μάλιστα ἐν τοῖσδε τοῖς ἔπεσι.

Κῆρυξ δ' ἐν χερσὶν κίθαριν περικαλλέ' ἔθηκε
φημίῳ, ὅς τε πολλὸν ἐκαίνυτο πάντας ἀείδων.

καὶ πάλιν·

αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

Μέμνηται δὲ καὶ τοῦ ναυκλήρου, μεθ' οὗ ἐκ περιέπλευσεν, καὶ εἶδε πόλιάς τε πολλάς, καὶ χώρας, ᾧ ὄνομα ἦν μέντης, ἐν τοῖς ἔπεσι τοῖσδε.

Μέντης ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
υἱός, ἀτὰρ ταφίοισι φιληρέτμοισιν ἀνάσσω.

Ἀπέδωκε δὲ χάριν καὶ τυχίῳ τῷ σκυτεῖ, ὃς ἐδέξατο αὐτὸν ἐν τῷ νέῳ τείχει προσελθόντα πρὸς τὸ σκυτεῖον, ἐν τοῖς ἔπεσι καταζεύξας ἐν τῇ ἰλιάδι τοῖσδε.

Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον
χάλκεον, ἑπταβόειον, ὅ οἱ τύχιος κάμε τεύχων
σκυτοτόμων ὄχ' ἄριστος ὕλῃ ἔνι οἰκία ναίων,

Ἀπὸ δὲ τῆς ποιήσεως ταύτης εὐδοκιμεῖ ὅμηρος περί τε τὴν ἰωνίαν, καὶ ἐς τὴν ἑλλάδα ἤδη περὶ αὐτοῦ λόγος ἀναφέρεται· καὶ οἰκέων δὲ ἐν τῇ χίῳ, καὶ εὐδοκιμέων περὶ τὴν πόιησιν ἀπικνεομένων πολλῶν, συνεβούλευον οἱ ἐντυγχάνοντες αὐτῷ ἐς τὴν ἑλλάδα ἀπικέσθαι· ὁ δὲ προσεδέξατο τὸν λόγον, καὶ κάρτα ἐπεθύμει ἀποδημῆσαι. κατανοήσας δὲ, ὅτι ἐς μὲν ἄργος πολλαὶ καὶ μεγάλαι ἦσαν εὐλογίαι πεποιημέναι, ἐς δὲ τὰς ἀθήνας οὔ, ἐμποιεῖ ἐς τὴν πόιησιν, ἐς μὲν ἰλιάδα τὴν μεγάλην ἐρεχθέα μεγαλύνων ἐν νεῶν καταλόγῳ τὰ ἔπεα τάδε

Δῆμον ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' ἀθήνη
θρέψε διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα.

Καὶ τὸν στρατηγὸν αὐτῶν μενεσθέα, ὡς πάντων εἴη ἄριστος τάξαι πεζὸν στρατὸν καὶ ἱππότας, ἐν τοῖσδε τοῖς ἔπεσιν εἶπε.

Τῶν αὖθ' ἡγεμόνευεν υἱὸς πετεῶο μενεσθεὺς
τῷ δ' οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ

πεσ μῆσαι ἵππους τε, καὶ ἀνέρας ἀσπιδιώτας.

Αἴαντα δὲ τὸν τελαμῶνος, καὶ σαλαμινίους ἐν νεῶν καταλόγῳ ἔταξε πρὸς ἀθηναίους λέγων τάδε.

Αἴας δ' ἐκ σαλαμῖνος, ἄγεν δυοκαίδεκα νῆας
στῆσε δ' ἄγων ἵν' ἀθηναίων ἵσταντο φάλαγγες.

Ἐς δὲ τὴν ὀδυσσείην τάδε ἐποίησεν, ὡς ἀθηνᾶ ἐς λόγους ἐλθοῦσα τῷ ὀδυσσεῖ ἐς τὴν ἀθηναίων πόλιν ἀπίκετο τιμῶσα ταύτην τῶν ἄλλων πολλῷ μάλιστα.

Ἵκετο δ' ἐς μαραθῶνα, καὶ εὐρυχόρους ἐς ἀθήνας.
δῦνε δ' ἐρεχθῆος πυκινὸν δόμον.

Ἐμποιήσας δὲ ἐς τὴν ποίησιν ταῦτα, καὶ παρασκευασάμενος, ἐς ἑλλάδα βουλόμενος ποιεῖσθαι τὸν πλοῦν προσίσχει τῇ σάμῳ. ἔτυχον δὲ οἱ ἐκεῖσε τὸν τότε καιρὸν ἄγοντες ἑορτὴν ἀπατούρια, καί τις τῶν σαμίων ἰδὼν τὸν ὅμηρον ἀπιγμένον, πρότερον αὐτὸν ἐπιστάμενος ἐν χίῳ ἐλθὼν ἐς τοὺς φράτορας διηγήσατο, ἐν ἐπαίνῳ μεγάλῳ ποιούμενος αὐτόν. οἱ δὲ φράτορες ἐκέλευον ἄγειν αὐτόν. ὁ δὲ ἐντυχὼν τῷ ὁμήρῳ ἔλεξεν· ὦ ξένε, ἀπατούρια ἄγουσι τῆς πόλιος, καλοῦσι σε οἱ φράτορες οἱ ἡμέτεροι συνεορτάσοντα. ὁ δὲ ὅμηρος ἔφη, ταῦτα ποιήσειν. καὶ ἤϊε μετὰ τοῦ καλέσαντος. πορευόμενος δὲ ἐγχρίμπτεται γυναιξὶ κουροτρόφῳ θυούσαις ἐν τῇ τριόδῳ. ἡ δὲ ἱέρεια, εἶπε πρὸς αὐτὸν δυσχεράνασα τῇ ὄψει, ἄνερ ἀπὸ τῶν ἱερῶν. ὁ δὲ ὅμηρος ἐς θυμόν τε ἔβαλε τὸ ῥηθέν, καὶ ἤρετο τὸν ἄγοντα, τίς τε εἴη ὁ φθεγξάμενος, καὶ τίνι θεῶν ἱερὰ θύεται. ὁ δὲ αὐτῷ διηγήσατο, ὅτι γυνὴ εἴη κουροτρόφῳ θύουσα. ὁ δὲ ἀκούσας λέγει τάδε τὰ ἔπεα,

Κλῦθί μοι εὐχομένῳ κουροτρόφε, δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν, ἀνήνασθαι φιλότητα καὶ εὐνήν,
ἡ δ' ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν.

ὧν ὥρη μὲν ἀπαμβλύνεται, θυμὸς δὲ μενοινᾷ.

Ἐπεὶ δὲ ἦλθεν ἐς τὴν φρήτρην, καὶ τοῦ οἴκου ἔνθα δὴ ἐδαίνυντο ἐπὶ τὸν οὐδὸν ἔστη, οἱ μὲν λέγουσι καιομένου πυρὸς ἐν τῷ οἴκῳ· οἱ δὲ φασι τότε ἐκκαῦσαι σφᾶς, ἐπειδὴ Ὅμηρος τὰ ἔπεα εἶπεν.

Ἀνδρὸς μὲν στέφανος παῖδες, πύργοι δὲ πόληος·
ἵπποι δ' ἐν πεδίῳ κόσμος, νῆες δὲ θαλάσσης·
χρήματα δ' αὔξει οἶκον, ἀτὰρ γεραροὶ βασιλῆες
ἥμενοι εἰν ἀγορῇ κόσμος τ' ἄλλοισιν ὁρᾶσθαι,
αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.

Ἐσελθὼν δὲ καὶ κατακλιθεὶς, ἐδαίνυτο μετὰ τῶν φρατόρων, καὶ αὐτὸν ἐτίμων, καὶ ἐν θωύματι εἶχον. καὶ τότε μὲν τὴν κοίτην αὐτοῦ ἐποιήσατο ὁ Ὅμηρος. τῇ δὲ ἐσαύριον ἀποπορευόμενον ἰδόντες κεραμέες τινές, κάμινον ἐγκαίοντες κεράμου λεπτοῦ, προσεκαλέσαντο αὐτὸν, πεπυσμένοι ὅτι σοφὸς εἴη, καὶ ἐκέλευόν σφιν ἀεῖσαι, φάμενοι δώσειν αὐτῷ τοῦ κεράμου, καὶ ὅ, τι ἂν ἄλλο ἔχωσιν. ὁ δὲ Ὅμηρος ἀείδει αὐτοῖς τὰ ἔπεα τάδε, ἃ καλεῖται κάμινος.

Εἰ μὲν δώσετε μισθὸν, ἀείσω ὦ κεραμῆες.
δεῦρ' ἄγ' Ἀθηναίη, καὶ ὑπέρεχε χεῖρα καμίνου.
εὖ δὲ μελανθεῖεν κότυλοι, καὶ πάντα μάλ' ἱρά.
φρυχθῆναί τε καλῶς, καὶ τιμῆς ὦνον ἀρέσθαι.
πολλὰ μὲν εἰν ἀγορῇ πωλεύμενα, πολλὰ δ' ἀγυιαῖς,
πολλὰ δὲ κερδῆναι, ἡμῖν δὲ δὴ ὥς σφι νοῆσαι.
ἢν δ' ἐπ' ἀναιδείην τρεφθέντες ψεύδη ἄρησθε,
συγκαλέω δ' ἤπειτα καμίνῳ δηλητῆρας.
σύντριβ', ὁμῶς μάραγόν τε, καὶ ἄσβεστον, ἠδὲ γ' ἄβαντον,
ὠμόδαμόν θ' ὃς τῇδε τέχνῃ πολλὰ κακὰ πορίζει.
πέρθε πυραίθουσαν, καὶ δώματα, σὺν δὲ κάμινος

πᾶσα

πᾶσα κυκηθείη κεραμέων μέγα κωκυσάντων·
ὡς γνάθος ἵππῃ βρύχῃ, βρύχοι δὲ κάμινος·
πάντ' ἔντοσθ' αὐτῆς κεραμήϊα λεπτὰ ποιοῦσα·
δεῦρο καὶ ἠελίου θυγάτηρ πολυφάρμακε κίρκη,
ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε, καὶ ἔργα·
δεῦρο δὲ καὶ χείρων ἀγέτω πολέας κενταύρους·
οἵθ' ἡρακλῆος χεῖρας φύγον, οἵ τ' ἀπόλοντο·
τύπτοιεν τάδε ἔργα κακῶς, τύπτοι δὲ κάμινον·
αὐτοὶ δ' οἰμώζοντες ὁρῴατο ἔργα πονηρά·
γηθήσω δ' ὁρόων αὐτῶν κακοδαίμονα τέχνην·
ὃ δ' ἔχ' ὑπερκύψῃ περὶ ταῦτα πᾶν τὸ πρόσωπον
φλεχθείη· ὡς πάντες ἐπίσταιντ' αἴσιμα ῥέζειν·

Παραχειμάζων δὲ ἐν τῇ σάμῳ ταῖς νουμηνίαις προσπορευόμενος πρὸς τὰς οἰκίας τὰς εὐδαιμονεστάτας, ἐλάμβανέ τι, ἀείδων τὰ ἔπεα τάδε, ἃ καλεῖται εἰρεσιώνη. ὡδήγουν δὲ αὐτὸν καὶ συμπαρῆσαν ἀεὶ τῶν παίδων τινὲς τῶν ἐπιχωρίων·

Δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο·
ὃς μέγα μὲν δύναται, μέγα δὲ βρέμει ὄλβιος αἰεί,
αὐτὰρ ἀνακλίνεσθε θύραι, πλοῦτος γὰρ ἔσεισι
πολλός, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα,
εἰρήνη τ' ἀγαθή, ὅσα δ' ἄγγεα μεστὰ μὲν εἴη·
κυρβαίη δ' αἰεὶ κατὰ καρδόπου ἕρποι μᾶζα·
τοῦ παιδὸς δὲ γυνὴ κατὰ διφράδα βήσεται ὕμμιν·
ἡμίονοι δ' ἄξουσι κραταίποδες ἐς τόδε δῶμα·
αὐτὴ δ' ὑφαίνοι ἱστὸν ἐπ' ἠλέκτρῳ βεβαυῖα.
νεῦμαί τοι νεῦμαι ἐνιαύσιος, ὥς τε χελιδών·
ἕστηκ' ἐν προθύροισι, καὶ εἰ μέν τοι * δώσεις, εἰ δὲ μή,
οὐχ ἑστήξομεν, οὐ γὰρ συνοικήσοντες ἐνθάδ' ἤλθομεν·

Ἤιδετο δὲ τάδε ἐν τῇ σάμῳ, ἐπὶ πολὺν χρόνον ὑπὸ τῶν παί-

δων, ὅτε ἀγείροιεν ἐν τῇ ἑορτῇ τοῦ ἀπόλλωνος. ἀρχομέ-
νου δὲ τοῦ ἔαρος, ἐπεχείρησε πλεῖν ὁ ὅμηρος ἐς τὰς ἀθή-
νας ἐκ τῆς σάμου. καὶ ἀναχθεὶς μετά τινων ἐγχωρίων
ἀπηνέχθη εἰς ἴον, καὶ ὥρμισαν οὐ κατὰ πόλιν,
ἀλλ' ἐπ' ἀκτῆς. συνέβη δὲ τῷ ὁμήρῳ κατὰ πολύ τι ἄρ-
ξασθαι μαλακῶς ἔχειν. ἐκβὰς δὲ ἐκ τοῦ πλοίου, ἐκοιμᾶ-
το ἐπὶ τῆς κυματωγῆς ἀδυνάτως ἔχων. πλέας δὲ ἡμέ-
ρας ὁρμεόντων αὐτῶν δι' ἀπλοΐην καταβαίνοντες αἰεί τι-
νες τῶν ἐκ τῆς πόλιος, ἀπεσχόλαζον παρὰ τῷ ὁμήρῳ,
καὶ ἐν θώυματι εἶχον αὐτὸν ἀκούοντες αὐτοῦ. τῶν δὲ ναυ-
τέων, καὶ τῶν ἐκ τῆς πόλιος τινῶν ἡμένων παρὰ
τῷ ὁμήρῳ κατέπλωσαν παῖδες ἁλιῆες τὸν τόπον. καὶ
ἐκβάντες ἐκ τοῦ ἀκατίου προσελθόντες αὐτοῖς, τάδε εἶ-
πον. ἄγετε ὦ ξένοι ἐπακούσατε ἡμέων, ἂν ἄρα δύνη-
σθε διαγνῶναι, ἅσσ' ἂν ὑμῖν εἴπωμεν. καί τις τῶν παρε-
όντων ἐκέλευε λέγειν. οἱ δὲ εἶπαν. ἡμεῖς ἅσσα εἵλομεν,
κατελίπομεν, ἃ δὲ μὴ εἵλομεν, φέρομεν. οἱ δέ φα-
σιν μέτρῳ εἰπεῖν αὐτούς, ἅσσ' ἕλομεν, λιπόμεσθα,
ἃ δ' οὐχ ἕλομεν, φερόμεσθα. οὐ δυναμένων δὲ τῶν πα-
ρεόντων γνῶναι τὰ ῥηθέντα, διηγήσαντο οἱ παῖδες ὅτι
ἁλιεύοντες, οὐδὲν ἐδύναντο ἑλεῖν, καθήμενοι δὲ ἐν γῇ
ἐφθειρίζοντο. καὶ ὅσους μὲν ἔλαβον τῶν φθειρῶν, κατέ-
λιπον, ὅσους δὲ μὴ ἐδύναντο, ἐς οἴκους ἀπεφέροντο. ὁ δὲ
ὅμηρος ἀκούσας ταῦτα, ἔλεξε τὰ ἔπεα τάδε

Τοίων γὰρ πατέρων ἐξ αἵματος ἐκγεγάατε,
οὔτε βαθυκλήρων, οὔτ' ἄσπετα μῆλα νεμόντων.

Ἐκ δὲ τῆς ἀσθενείας ταύτης συνέβη τὸν ὅμηρον τελευτῆ-
σαι ἐν ἴῳ, οὐ παρὰ τὸ μὴ γνῶναι τὸ παρὰ τῶν παίδων ῥη-
θέν, ὡς οἴονταί τινες, ἀλλὰ τῇ μαλακίῃ. τελευτήσας δὲ
ἐν τῇ ἴῳ, αὐτοῦ ἐπ' ἀκτῆς ἐτάφη ὑπό τε τῶν συμπλεόν-

ταν, καὶ τῶν πολιτέων, ὅσοι ἐν διαλογῇ ἐγένοντο αὐτῷ, καὶ τὸ ἐλεγεῖον τόδε ἐπέγραψαν Ἰῆται ὕστερον χρόνῳ πολλῷ, ὡς ἤδη ἡ ποίησις ἐξεπεπτώκεε, καὶ ἐθαυμάζετο ὑπὸ πάντων, οὐ δὲ Ὁμήρου ἐστίν.

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Ὅτι δὲ ἦν αἰολεὺς ὁ Ὅμηρος, καὶ οὔτε ἴων, οὔτε δωριεὺς, τοῖς τε εἰρημένοις δεδήλωταί μοι, καὶ δὴ καὶ τοῖσδε τεκμαίρεσθαι παρέχει. ἄνδρα ποιητὴν τηλικοῦτον εἰκός ἐστι τῶν νομίμων τῶν παρὰ τοῖς ἀνθρώποις ποιοῦντα ἐς τὴν ποίησιν, ἤτοι τὰ κάλλιστα ἐξευρόντα ποιέειν, ἢ τὰ ἑωυτοῦ πάτρια ἐόντα. ἤδη τοίνυν τὸ ἐνθένδε αὐτοὶ τῶν ἐπέων ἀκούοντες κρινέετε. ἱεροποιΐην γὰρ, ἢ τὴν κρατίστην ἐξευρὼν ἐποίησεν, ἢ τὴν ἑωυτοῦ πατρίδα προσήκουσαν. λέγει γὰρ ὧδε.

Αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν.
μηρούς τ᾽ ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν.
δίπτυχα ποιήσαντες, ἐπ᾽ αὐτῶν δ᾽ ὠμοθέτησαν.

Ἐν τούτοις ὑπὲρ ὀσφύος οὐδὲν εἴρηται, ᾗ ἐς τὰ ἱερὰ χρέονται. μονώτατον γὰρ τῶν ἑλλήνων τὸ αἰολικὸν ἔθνος, οὐ καίει ὀσφῦν. δηλοῖ δὲ καὶ ἐν τοῖς δὲ τοῖς ἔπεσιν, ὅτι αἰολεὺς ὢν τοῖς νόμοις τοῖς τούτων ἐχρῆτο.

Καῖε δ᾽ ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ᾽ αἴθοπα οἶνον
λεῖβε. νέοι δὲ παρ᾽ αὐτὸν ἔχον πεμπώβολα χερσίν.

Αἰολέες γὰρ μόνοι τὰ σπλάγχνα ἐπὶ πέντε ὀβελῶν ὀπτῶσιν. οἱ δὲ ἄλλοι ἕλληνες, ἐπὶ τριῶν. καὶ γὰρ ὀνομάζουσιν οἱ αἰολεῖς τὰ πέντε, πέμπε. τὰ μὲν οὖν ὑπὲρ τῆς γενέσιος, καὶ τελευτῆς, καὶ βίου, δεδήλωταί μοι. περὶ δὲ ἡλικίης τῆς ὁμήρου, ἐκ τῶν δ᾽ ἄν τις ἐπισκεπτόμενος, ἀκριβῶς, καὶ ὀρθῶς λογίζοιτο. ἀπὸ γὰρ τῆς εἰς ἴλιον στρατείας

ἣν ἀγαμέμνων, καὶ μενέλαος ἤγειραν ἔτεσιν ὕστερον ἑκατὸν, καὶ τριάκοντα, λέσβος ᾠκίσθη κατὰ πόλεις, πρότερον ἐοῦσα ἄπολις. μετὰ δὲ λέσβον οἰκισθεῖσαν ἔτεσιν ὕστερον εἴκοσι κύμη, ἡ αἰολιῶτις, καὶ φρικῶτις καλεομένη ᾠκίσθη. μετὰ δὲ κύμην, ὀκτωκαίδεκα ἔτεσιν ὕστερον σμύρνα ὑπὸ κυμαίων κατῳκίσθη, καὶ ἐν τούτῳ γίνεται ὅμηρος. ἀφ' οὗ δὲ ὅμηρος ἐγένετο, ἔτεά ἐστιν ἑξακόσια εἰκοσιδύο μέχρι τῆς ξέρξεω διαβάσεως, ἣν στρατευσάμενος ἐπὶ τοὺς ἕλληνας, καὶ ζεύξας τὸν ἑλλήσποντον διέβη ἐκ τῆς ἀσίας ἐς τὴν εὐρώπην. ἀπὸ δὲ τούτου ῥηϊδίως ἐστὶν ἀριθμῆσαι τὸν χρόνον τῷ ἐθέλοντι ζητεῖν ἐκ τῶν ἀρχόντων ἀθήνῃσι. τῶν δὲ τρωϊκῶν ὕστερον γέγονεν ὅμηρος ἔτεσιν ἑκατὸν ἑξηκονταοκτώ.

# ΠΛΟΥΤΑΡΧΟΥ ΕΙΣ ΤΟΝ ΒΙΟΝ ΤΟΥ ΟΜΗΡΟΥ.

π

Περιττὸν ἴσως δόξειέ τισι πολυπραγμονεῖν περὶ ὁμήρου ποίων τε ἦν γονέων, καὶ πόθεν, ἐπεὶ μηδὲ αὐτὸς ἠξίωσεν εἰπεῖν τὰ περὶ αὑτοῦ. ἀλλ' οὕτως ἐγκρατῶς ἔχειν, ὡς μηδὲ τὴν ἀρχὴν τοῦ ὀνόματος ἐπιμνησθῆναι. ἐπεὶ δὲ ὡς πρὸς εἰσαγωγὴν τῶν ἀρχομένων παιδεύεσθαι χρήσιμος ἡ πολυπειρία, πειρασόμεθα εἰπεῖν ὅσα ἱστόρηται τοῖς παλαιοῖς περὶ αὐτοῦ.

Ε

Ἔφορος μὲν οὖν ὁ κυμαῖος ἐν συντάγματι τῷ ἐπιγραφομένῳ ἐπιχωρίῳ, κυμαῖον αὐτὸν ἀποδεικνύναι πειρώμενος, φησὶν ὅτι ἀπελλῆς, καὶ μαίων, καὶ δῖος ἀδελφοὶ κυμαῖοι τὸ γένος, ὧν δῖος μὲν διὰ χρέα μετῴκησεν ἐς ἄσ-

κρήτην κώμην τῆς βοιωτίας, κἀκεῖ γήμας τὴν πυκιμήδην, ἐγέννησεν ἡσίοδον. ἀπελλῆς δὲ τελευτήσας ἐν τῇ πατρίδι κύμῃ, κατέλιπε θυγατέρα κριθηΐδα τοὔνομα, προστησάμενος αὐτῇ τὸν ἀδελφὸν μαίονα. ὃς διακορεύσας τὴν προειρημένην, καὶ τὴν ἀπὸ τῶν πολιτῶν ἐπὶ τῷ γεγονότι δείσας κατάγνωσιν, ἔδωκεν αὐτὴν πρὸς γάμον φημίῳ σμυρναίῳ διδασκάλῳ γραμμάτων. φοιτῶσα δὲ αὐτὴ ἐπὶ τοὺς πλυνοὺς, οἳ ἦσαν παρὰ τῷ μέλητι, ἀπεκύησε τὸν ὅμηρον ἐπὶ τὸν ποταμόν, καὶ διὰ τοῦτο μελησιγενὴς ἐκλήθη. μετωνομάσθη δὲ ὅμηρος, ἐπειδὴ τὰς ὄψεις ἐπηρώθη. οὕτω δὲ ἐκάλουν οἵ τε κυμαῖοι, καὶ οἱ ἴωνες τοὺς τὰς ὄψεις πεπηρωμένους, παρὰ τὸ δεῖσθαι τῶν ὁμηρευόντων, ὅ ἐστι τῶν ἡγουμένων. ταῦτα μὲν ἔφορος.

Ἀριστοτέλης δὲ ἐν τῷ τρίτῳ περὶ ποιητικῆς, ἐν ἴῳ φησὶ τῇ νήσῳ, καθ᾽ ὃν καιρὸν νηλεὺς ὁ κόδρου τῆς ἰωνικῆς ἀποικίας ἡγεῖτο, κόρην τινὰ τῶν ἐπιχωρίων γενομένην ὑπό τινος δαίμονος τῶν συγχορευτῶν μούσαις ἐγκύμονα, αἰδεσθεῖσαν τὸ συμβὰν διὰ τὸν ὄγκον τῆς γαστρός, ἐλθεῖν εἴς τι χωρίον, τὸ καλούμενον αἴγιναν, εἰς ὃ καταδραμόντας λῃστὰς ἀνδραποδίσαι τὴν προειρημένην, καὶ ἀγαγόντας εἰς σμύρναν οὖσαν ὑπὸ λυδοῖς τότε τῷ βασιλεῖ τῶν λυδῶν ὄντι φίλῳ τοὔνομα μαίονι χαρίσασθαι, τὸν δὲ ἀγαπήσαντα τὴν κόρην διὰ τὸ κάλλος γῆμαι, ἣν διατρίβουσαν παρὰ τῷ μέλητι, καὶ συσχεθεῖσαν ὑπὸ τῆς ὠδῖνος, ἔτυχεν ἀποκυῆσαι τὸν ὅμηρον ἐπὶ τῷ ποταμῷ, ὃν ἀναλαβὼν ὁ μαίων, ὡς ἴδιον ἔτρεφε, τῆς κριθηΐδος μετὰ τὴν κύησιν εὐθέως τελευτησάσης, χρόνου δὲ οὐ πολλοῦ διελθόντος, καὶ αὐτὸς ἐτελεύτησε. τῶν δὲ λυδῶν καταπονουμένων ὑπὸ τῶν αἰολέων, καὶ κρινάντων καταλιπεῖν τὴν σμύρναν, καὶ κηρυξάντων τῶν ἡγεμόνων τὸν βουλόμε-

τὸν ἀκολουθεῖν, ἐξιέναι τῆς πόλεως, ἔτι νήπιος ὢν ὅμηρος ἔφη καὶ αὐτὸς βούλεσθαι ὁμηρεῖν. ὅθεν ἀντὶ μελησιγενοῦς, ὅμηρος προσηγορεύθη.

Γενόμενος δὲ ἐν ἡλικίᾳ, καὶ δόξαν ἐπὶ ποιητικῇ κεκτημένος, ἤδη ἐπηρώτα τὸν θεὸν τίνων τε εἴη γονέων, καὶ πόθεν. ὁ δέ, ἀνεῖλεν οὕτως.

Ἔστιν ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται, ἀλλὰ νέων ἀνδρῶν αἴνιγμα φύλαξαι.

φέρεται καὶ ἕτερος χρησμὸς τοιοῦτος.

Ὄλβιε, καὶ δύσδαιμον (ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι,)
πατρίδα δίζηαι, μητρὶς δέ τοι, οὐ πατρὶς ἐστι
μητρόπολις ἐν νήσῳ ἀπὸ κρήτης εὐρείης,
μίνωος γαίης οὔτε σχεδόν, οὔτ' ἀπὸ τηλοῦ.
ἐν τῇ, σὴ μοῖρά ἐστι τελευτῆσαι βιότοιο,
εὖτ' ἂν ἀπὸ γλώττης παίδων μὴ γνῷς ἐπακούσας
δυσξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὕμνον.
δοιὰς γὰρ ζωῆς μοίρας λάχες, ἣν μὲν ἀμαυρὰν
ἠελίδων ὅσσων, ἣν δ' ἀθανάτοις ἰσόμοιρον
καὶ ζῶν, καὶ φθίμενος, φθίμενος δ' ἔτι πολλὸν ἀγήρως.

Μετ' οὐ πολὺν χρόνον πλέων ἐς θήβας ἐπὶ τὰ κρόνια, (ἀγὼν δὲ οὗτος ἄγεται παρ' αὐτοῖς μουσικός,) ἦλθεν ἐς ἴον. ἔνθα ἐπὶ πέτρας καθεζόμενος, ἐθεάσατο ἁλιεῖς προσπλέοντας, ὧν ἐπυνθάνετο εἴ τι ἔχοιεν. οἱ δέ, ἐπὶ τῷ θηρᾶσαι μὲν μηδέν, φθειρίζεσθαι δέ, διὰ τὴν ἀπορίαν τῆς θήρας, οὕτως ἀπεκρίναντο.

Ὅσ' ἕλομεν, λιπόμεσθα, ὅσ' οὐχ ἕλομεν, φερόμεσθα.

αἰνιττόμενοι ὡς ἄρα οὓς μὲν ἔλαβον τῶν φθειρῶν, ἀποκτείναντες, κατέλιπον, οὓς δ' οὐκ ἔλαβον, ἐν τῇ ἐσθῆτι φέροιεν. ὅπερ οὐ δυνηθεὶς συμβαλεῖν ὅμηρος διὰ τὴν ἀθυμίαν ἐτελεύτησε. θάψαντες δὲ αὐτὸν οἱ ἰῆται μεγαλο-

πρεπῶς, τοιόνδε ἐπέγραψαν αὐτῷ τῷ τάφῳ,

Ἐνθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ὅμηρον.

Εἰσὶ δὲ οἳ καὶ κολοφώνιον αὐτὸν ἀποφαίνονται, μεγίστῳ τεκμηρίῳ χρώμενοι, πρὸς ἀπόδειξιν τῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγεγραμμένῳ ἐλεγείῳ, ἔχει δὲ οὕτως.

Υἱὲ μέλητος Ὅμηρε, σὺ γὰρ κλέος ἑλλάδι πάσῃ,
καὶ κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον
καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας
δισσὰς ἡμιθέων γραψάμενος σελίδας.
ὑμνεῖ δ' ἡ μὲν νόστον ὀδυσσῆος πολύπλαγκτον,
ἡ δὲ τὸν ἰλιακὸν δαρδανιδῶν πόλεμον.

Ἄξιον δὲ μηδὲ τὸ ὑπὸ τοῦ ἀντιπάτρου γραφὲν, ἐπίγραμμα παραλιπεῖν, ἔχον οὐκ ἀσέμνως. ἔχει δὲ οὕτως.

Οἱ μέν σευ κολοφῶνα τιθήνην τήναν Ὅμηρε.
οἱ δὲ, καλὰν σμύρναν, οἱ δ' ἐνέπουσι χίον.
οἱ δ' ἴον, οἱ δ' ἐβόασαν εὔκλαρον σαλαμῖνα.
οἱ δ' ἐνὺ τὰν λαπιθᾶν ματέρα θεσσαλίαν.
ἄλλοι δ' ἄλλο μέλαθρον ἀνίαχον, εἰ δέ με φοίβου
χρὴ λέξαι πινυτὰν ἀμφαδὰ μαντοσύναν,
πάτρη τοι τελέθει μέγας οὐρανός, ἐκ δὲ γυναικὸς
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο καλλιόπας.

Γενέσθαι δὲ αὐτόν φασι τοῖς χρόνοις, οἱ μὲν κατὰ τὸν τρωϊκὸν πόλεμον, οὗ καὶ αὐτόπτην γενέσθαι, οἱ δὲ μετὰ ἑκατὸν ἔτη τοῦ πολέμου. ἄλλοι δὲ μετὰ πεντήκοντα, καὶ ἑκατόν. ἔγραψε δὲ ποιήματα δύο, ἰλιάδα, καὶ ὀδύσσειαν. ὡς δέ τινες οὐκ ἀληθῶς λέγοντες, γυμνασίας καὶ παιδιᾶς ἕνεκα, καὶ βατραχομυομαχίαν προσθεὶς, καὶ μαργίτην. τοῦ δὲ τρωϊκοῦ πολέμου καθ' Ὅμηρόν τινές φασιν ἀρχὴν εἶναι τὴν τῶν θεῶν κρίσιν, ἥρας, καὶ ἀθηνᾶς, καὶ ἀφροδίτης πε-

ρὶ κάλλους ὑπ' ἀλεξάνδρου γενομένην, λέγειν τὸν ποιητὴν·

Ὁ στήσεατε θεὰς ὅτε οἱ μέσσαυλον ἵκοντο.
τὴν δ' ᾔνεσ' ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.

Ἀλλ' ὡς οὐ πρέπον ὑπολαμβάνειν θεοὺς ὑπὸ ἀνθρώπων κρίνεσθαι, οὔτε ὑπὸ ὁμήρου δι' ἄλλων παρίσταται τοῦτο· ὅθεν εὐλόγως ἠθέτηνται οἱ προκείμενοι στίχοι. ἄμεινον οὖν λέγειν ὅτι ἀλέξανδρος ὁ πριάμου παῖς ἐπιθυμήσας ἑλληνικοῦ βίου μαθεῖν ἀγωγὴν, ἔπλευσεν εἰς σπάρτην, καὶ ἐπιξενωθεὶς ἑλένην μενελάου κατὰ τὸν οἶκον οὐκ ὄντος, ἀνέπεισεν αὐτὴν ἀκολουθεῖν, ἐλθὼν δὲ εἰς τὴν κραναὴν καλουμένην νῆσον ἐμίγη πρῶτον τῇ γυναικί, κἀκεῖθεν πλεύσας διὰ σιδῶνος, καὶ φοινίκης, ἧκεν ἐς ἴλιον. ἐπεγνόντων δὲ οἱ περὶ ἀγαμέμνονα, καὶ μενέλαον τὸ πεπραγμένον, στρατιὰν ἤθροισαν ἐν αὐλίδι πόλει τῆς βοιωτίας, ἔνθα καὶ θυόντων αὐτῶν, δράκων ἐπὶ τὸ πλησίον ἀνελθὼν δένδρον, στρουθοῦ νεοσσοὺς ὀκτὼ διέφθειρεν, οἷς ἡ μήτηρ ἐνάτη συγκατείλεκτο· ἐμήνυε δὲ τὸ σημεῖον, ὅτι ἐννέα ἔτη πολεμήσαντες ἕλληνες, τῷ δεκάτῳ αἱρήσουσι τὴν ἴλιον.

Ἡνίκα δὲ πλεύσαντες, ἐπέβησαν τῆς τροίας, μετὰ πρώτην συμβολὴν, καθ' ἣν ἀνῃρέθη πρωτεσίλαος, μενέλαόν τε, καὶ ὀδυσσέα πρέσβεις ἀπέστειλαν τὴν ἑλένην ἀπαιτοῦντας, τῶν δὲ τρώων ἀντειπόντων, πάλιν συμβολὴν ἐποιοῦντο πολέμου· καὶ ἐπικρατήσαντες, τοὺς μὲν, εἶρξαν παρεδρεύειν τῇ πόλει, οἱ δὲ στρατηγοῦντος ἀχιλλέως, τὰς περικειμένας πόλεις ἐπόρθουν· συμμαχίας ἀφαιρούμενοι τοὺς τρῶας, ἐξ ὧν μίαν ἑλόντες χρύσαν, γέρας ἔδοσαν ἀγαμέμνονι χρυσηίδα χρύσου ἱερέως ἀπόλλωνος θυγατέρα· ὁ δὲ ἐλθὼν ἐπὶ τὸν ναύσταθμον, ἵνα λυτρώσηται τὴν παῖδα, καὶ ὑβρισθεὶς ὑπὸ ἀγαμέμνονος, ηὔξατο τῷ

ἀπόλλωνι, κολάσαι τοὺς ἕλληνας. ἐπακούσας δὲ τῆς εὐχῆς ὁ θεὸς λοιμὸν ἐπέπεμψεν αὐτοῖς. καὶ τότ᾽ ἀχιλλέως παραινέσαντος ἀποδοῦναι τὴν χρυσηΐδα, ἀγαμέμνων ὀργισθεὶς ἠπείλησεν ἀφαιρήσεσθαι τὸ ἀχιλλέως γέρας βρισηΐδα. ὁ δὲ, τὴν μητέρα θέτιν ἔπεισεν αἰτήσασθαι παρὰ τοῦ διὸς ἧτταν ἑλλήνων. οὗ γενομένου, πάτροκλος προτραπεὶς ὑπὸ νέστορος, ἱκέτευσεν ἀχιλλέα δοῦναι καὶ ἐπ᾽ ὀλίγον τὴν πανοπλίαν αὐτῷ, ἵνα τοὺς τρῶας τῶν νεῶν ἀπώσηται. ἐξελθὼν οὖν ὁ πάτροκλος, καὶ γενναίως ἀριστεύσας, μετ᾽ οὐ πολὺ ἀνῃρέθη. χαλεπήνας δὴ ὁ ἀχιλλεὺς, ἐπαύσατο μὲν τῆς πρὸς ἀγαμέμνονα ἔχθρας. λαβὼν δὲ ἡφαιστότευκτον πανοπλίαν, ἄλλους τε πολλοὺς, καὶ τελευταῖον ἀνεῖλεν ἕκτορα. ἡ μὲν οὖν τάξις τῶν πραγμάτων ἐστὶν αὕτη. ὁ δὲ ποιητὴς ἀπὸ τοῦ ἐννάτου ἔτους ἤρξατο, ἐπεὶ τὰ πρὸ τῆς ἀχιλλέως μήνιδος ἦν ἀτονώτερα, καὶ πράξεις οὐκ ἔχοντα μακρὰς οὐδ᾽ ἐπαζήλους. συμμαχοῦντος γὰρ ἕλλησιν ἀχιλλέως, οὐδέποτε τρῶες πρὸ πυλάων δαρδανιδάων οἴχνεσκον. κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος. θαρσήσαντες δὲ τούτου ἀποστάντος, προῆλθον. καὶ τῆς μάχης ἴσης γενομένης, πολυπρόσωποί τε, καὶ συνεχεῖς τῶν ἡρώων ἀριστεῖαι κατέστησαν.

Ὅμηρον τὸν ποιητὴν, χρόνῳ μὲν τῶν πλείστων, δυνάμει δὲ πάντων πρῶτον γενόμενον, εἰκότως ἀναγινώσκομεν πρῶτον ὠφελούμενοι τὰ μέγιστα, εἴς τε τὴν φωνὴν, καὶ τὴν διάνοιαν, καὶ τὴν τῶν πραγμάτων πολυπειρίαν. λέγωμεν δὲ περὶ τῆς τούτου ποιήσεως πρότερον μνησθέντες διὰ βραχέων τοῦ γένους αὐτοῦ.

Ὅμηρον τοίνυν πίνδαρος μὲν ἔφη, χῖόν τε, καὶ σμυρναῖον γενέσθαι. σιμωνίδης δὲ, χῖον. ἀντίμαχος δὲ, καὶ νίκανδρος, κολοφώνιον. ἀριστοτέλης δὲ ὁ φιλόσοφος, ἰήτην

ἔφορος δὲ ὁ ἱστορικὸς κυμαῖον. οὐκ ὤκνησαν δέ τινες σαλαμίνιον αὐτὸν ἀποφῆναι ἀπὸ κύπρου. τινὲς δὲ ἀργεῖον. ἀρίσταρχος δὲ, καὶ διονύσιος ὁ θρᾷξ ἀθηναῖον. υἱὸς δὲ ὑπ' ἐνίων λέγεται μαίονος, καὶ κριθηΐδος, ὑπὸ δέ τινων μέλητος τοῦ ποταμοῦ.

Ὡς περὶ δὲ τὰ τοῦ γένους αὐτοῦ διαπορεῖται, οὕτω καὶ τὰ περὶ τῶν χρόνων, καθ' οὓς ἐγένετο. καὶ οἱ μὲν περὶ ἀρίσταρχόν φασιν αὐτὸν γενέσθαι κατὰ τὴν ἰώνων ἀποικίαν, ἥτις ὑστερεῖ τῆς τῶν ἡρακλειδῶν καθόδου ἔτεσιν ἑξήκοντα. τὰ δὲ περὶ τοὺς ἡρακλείδας λείπεται τῶν τρωϊκῶν ἔτεσιν ὀγδοήκοντα. οἱ δὲ περὶ κράτητα, καὶ πρὸ τῆς τῶν ἡρακλειδῶν καθόδου λέγουσιν αὐτὸν γενέσθαι, ὡς οὐδὲ ὅλα ἔτη ὀγδοήκοντα ἀπέχειν τῶν τρωϊκῶν. ἀλλὰ παρὰ τοῖς πλείστοις πεπίστευται μετὰ ἔτη ἑκατὸν τῶν τρωϊκῶν γεγονέναι, οὐ πολὺ πρὸ τῆς θέσεως τῶν ὀλυμπίων, ἀφ' ἧς ὁ κατὰ ὀλυμπιάδα χρόνος ἀριθμεῖται.

Εἰσὶ δὲ αὐτοῦ ποιήσεις δύο ἰλιὰς, καὶ ὀδύσσεια· διῃρημένη ἑκατέρα εἰς τὸν ἀριθμὸν τῶν στοιχείων, οὐχ ὑπὸ τοῦ αὐτοῦ ποιητοῦ, ἀλλ' ὑπὸ τῶν γραμματικῶν, τῶν περὶ ἀρίσταρχον, ὧν ἡ μὲν ἰλιὰς, ἔχει τὰς ἐν ἰλίῳ πράξεις ἑλλήνων τε, καὶ βαρβάρων διὰ τὴν ἑλένης ἁρπαγὴν, καὶ μάλιστα τὴν ἀχιλλέως ἐν τῷ πολέμῳ τούτῳ διαδειχθεῖσαν ἀλκήν. ἡ δὲ ὀδύσσεια τὴν ὀδυσσέως ἀνακομιδὴν εἰς τὴν πατρίδα ἀπὸ τοῦ τρωϊκοῦ πολέμου, καὶ ὅσα πλανώμενος ἐν τῷ νόστῳ ὑπέμεινε. καὶ ὅπως τοὺς ἐπιβουλεύοντας τῷ οἴκῳ αὐτοῦ ἐτιμωρήσατο. ἐξ ὧν δῆλός ἐστι παριστὰς, διὰ μὲν τῆς ἰλιάδος, ἀνδρείαν σώματος· διὰ δὲ τῆς ὀδυσσείας, ψυχῆς γενναιότητα.

Εἰ δὲ μὴ μόνον ἀρετὰς, ἀλλὰ καὶ κακίας ψυχῆς ἐν ταῖς ποιήσεσι παρίστησι, λύπας τε, καὶ χαρὰς, καὶ φόβους, καὶ

ἐπιθυμίας, οὐ χρὴ αἰτιᾶσθαι τὸν ποιητήν, παρόντα δὲ μιμεῖσθαι οὐ μόνον τὰ χρηστὰ ἤθη, ἀλλὰ καὶ τὰ φαῦλα. ἄνευ γὰρ τούτων παράδοξοι πράξεις οὐ συνίστανται, ὧν ἀκούοντα ἔνεστιν αἱρεῖσθαι τὰ βελτίω. πεποίηκε δὲ τοὺς θεοὺς τοῖς ἀνθρώποις ὁμιλοῦντας, οὐ μόνον ψυχαγωγίας καὶ ἐκπλήξεως χάριν, ἀλλ' ἵνα καὶ ἐν τούτῳ παραστήσῃ, ὅτι κήδονται, καὶ οὐκ ἀμελοῦσι τῶν ἀνθρώπων οἱ θεοί.

Καὶ τὸ μὲν ὅλον παρ' αὐτῷ διήγησις τῶν πραγμάτων παράδοξος, καὶ μυθώδης κατεσκεύασται, ὑπὲρ τοῦ πληροῦν ἀγωνίας, καὶ θαύματος τοὺς ἐντυγχάνοντας, καὶ ἐκπληκτικὴν τὴν ἀκρόασιν καθιστάναι. ὅθεν δοκεῖ τινα παρὰ τὸ ἦθος εἰρηκέναι. καὶ γὰρ ἀεὶ τὸ πιθανὸν ἕπεται, ἐν ᾧ τὸ παράδοξον, καὶ ἐπηρμένον πρόκειται. διὸ καὶ οὐ μόνον τὰ πράγματα μετεωρίζει, καὶ ἐκτρέπει τῆς συνηθείας, ἀλλὰ καὶ τοὺς λόγους. ὅτι δὲ ἀεὶ καινά, καὶ ἔξω τοῦ προχείρου θαυμάζεται, καὶ τὸν ἀκροατὴν ἐπάγεται, παντὶ δῆλον. πλὴν καὶ ἐν τοῖς μυθώδεσι τούτοις λόγοις, εἴ τις μὴ παρέργως, ἀλλ' ἀκριβῶς ἕκαστα τῶν εἰρημένων ἐπιλέγοιτο, φανεῖται πάσης λογικῆς ἐπιστήμης, καὶ τέχνης ἐντὸς γενόμενος, καὶ πολλὰς ἀφορμὰς καὶ οἱονεὶ σπέρματα καὶ λόγων καὶ πράξεων παντοδαπῶν τοῖς μετ' αὐτὸν παρεσχόμενος. καὶ οὐ τοῖς ποιηταῖς μόνον, ἀλλὰ καὶ τοῖς πεζῶν λόγων συνθέταις, ἱστορικῶν τε, καὶ θεωρηματικῶν. ἴδωμεν γὰρ πρότερον τὴν τῆς λέξεως αὐτοῦ πολυφωνίαν, ἔπειτα καὶ τὴν ἐν τῇ πραγματείᾳ πολυμάθειαν. πᾶσα μὲν οὖν ποίησις, τάξει τινὶ τῶν λέξεων συντιθεμένων, ῥυθμῷ καὶ μέτρῳ παραλαμβάνεται, ἐπὶ τὸ λεῖον, καὶ εὐεπὲς σεμνὸν ἅμα, καὶ ἡδὺ γενόμενον. διὰ δὲ τοῦ τέρπειν εἰς τὸ προσέχειν ἐπάγεται. ὅθεν συμβαίνει κατὰ τὸ αὐτὸ μὴ μόνον τοῖς ἐκπλήττουσι καὶ θεά

ῥοῦσι τέρπεσθαι, ἀλλὰ καὶ τοῖς πρὸς ἀρετὴν ὠφελοῦσι πεί-
θεσθαι ῥᾳδίως.

Τὰ δ' Ὁμήρου ἔπη τὸ τελειότατον ἔχει μέτρον, τουτέστι τὸ ἑξά-
μετρον, ὃ καὶ ἡρῷον καλεῖται. ἑξάμετρον μὲν, ὅτι ἕκα-
στος στίχος ἔχει πόδας ἕξ, ὧν ὁ μέν ἐστιν ἐκ δύο συλλα-
βῶν μακρῶν σπονδεῖος καλούμενος, ὁ δὲ, ἐκ τριῶν, μι-
ᾶς μὲν μακρᾶς, δύο δὲ βραχειῶν, ὃς λέγεται δάκτυλος.
καὶ εἰσὶν ἀλλήλοις ἰσόχρονοι. αἱ γὰρ δύο βραχεῖαι μιᾶς μα-
κρᾶς χρόνον ἐπέχουσιν. οὗτοι δὲ παρ' ἀλλήλοις συντιθέμε-
νοι, πληροῦσι τὸ ἑξάμετρον ἔπος. ἡρῷον δὲ λέγεται ὅτι
διὰ τούτου τὰς τῶν ἡρώων πράξεις διηγεῖται.

Λέξει δὲ ποικίλῃ κεχρημένος, τοὺς ἀπὸ πάσης διαλέκτου
τῶν ἑλλήνων χαρακτῆρας ἐγκατέμιξεν, ἐξ ὧν δῆλός
ἐστι πᾶσαν μὲν ἑλλάδα ἐπελθὼν, καὶ πᾶν ἔθνος.

Καὶ δωριέων μὲν τῇ συνηθείᾳ τῆς βραχυλογίας ἐλλείψει
κέχρηται, τὸ δῶμα λέγων δῶ. αἶψα δέ οἱ δῶ ἀφνειὸν
πέλεται, καὶ τὸ ὅτι, ὅ, ὅ μοι αἰετὸς ἔκτανε χῆνας. καὶ τὸ
ὀπίσω, ἄψ, μεταβαλὼν τὸ μὲν ο̄ εἰς τὸ ᾱ, τὸ δὲ π̄, καὶ τὸ σ̄
εἰς τὸ συγγενὲς αὐτοῖς. καὶ τὸ ἄλλοτε, ἄλλο. ἤδη γάρ με
καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή, καὶ τὰ τοιαῦτα. ὁμοί-
ως δὲ καὶ τὰ μέσα συντέμνων λέγει τοὺς ὁμότριχας, καὶ
ὁμοετεῖς ὄτριχας, καὶ οἰέτεας, καὶ τὸ ὁμοπάτριον, ὀπά-
τριον, καὶ τὸ τρέμειν, τρεῖν, καὶ τὸ τιμῶ, τίω. τῶν αὐτῶν
δέ ἐστι καὶ τὸ ὑπερβιβάζειν τὰ στοιχεῖα. ὡς ἐν τῷ κάρτιστοι,
ἀντὶ τοῦ κράτιστοι.

Αἰολέων δὲ χρῆται ἐν τοῖς συνθέτοις τῇ συγκοπῇ. καδδρα-
θέτην λέγων, ἀντὶ τοῦ κατεδραθέτην, καὶ ὑββάλλειν ἀντὶ
τοῦ ὑποβάλλειν. καὶ ἐπὶ τοῦ παρατατικοῦ χρόνου, τὰ τρίτα
πρόσωπα λήγοντα παρὰ τοῖς ἄλλοις εἰς τὴν ει δίφθογγον
διὰ τοῦ η παρὰ τοῖς αἰολεῦσιν ἐκφέρεται, ὡς ἐν τῷ ἐφί-

λη, ἐνόη. οὕτω δὲ καὶ ὅμηρος ἐποίησεν· δίδη μὲν χροισὶ λύγοισιν, ἀντὶ τοῦ ἔδει, ὅ ἐστιν ἐδεσμεῖ. καὶ τὸ μὲν ἄρ οὔτ' ἀνέμων διαήμενος ὑγρὸν ἀέντων. καὶ τὸ ἐναλλάσσειν τὸ σ εἰς τὸ δ· ὡς ἐν τῷ λέγειν ὀδμή, καὶ ἴδμεν, καὶ τὸ πλεονάζειν ἔν τισιν, ὡς τὸ αὔκηλος ἀντὶ τοῦ ἔκηλος· καὶ αὐτὰρ ἀντὶ τοῦ ἀτάρ· καὶ κεκλήγοντες, ἀντὶ τοῦ κεκληγότες. καὶ τὸ προστιθέναι τῷ δευτέρῳ προσώπῳ τῶν ῥημάτων, τὸ θα ὡς τὸ ἔφησθα, καὶ εἴπησθα. τὸν δὲ διπλασιασμὸν τῶν συμφώνων, οἱ μὲν, δωριεῦσιν, οἱ δὲ αἰολεῦσι προσνέμουσιν. οἷόν ἐστιν ἔλλαβε πορφύρεος θάνατος, καὶ ὁππότερος τάδε ἔργα. Ἰώνων δὲ ἴδιον ἔχει τὸ ἀφαιρέσει χρῆσθαι ἐν τοῖς παρῳχημένοις χρόνοις τῶν ῥημάτων ὡς τὸ βῆ, καὶ τὸ δῶκεν. ἔθος γὰρ ἔχουσι καὶ ἐπὶ τῶν παρῳχημένων χρόνων ἀπὸ τῶν αὐτῶν στοιχείων ἄρχεσθαι, ἀφ' ὧν ἐστι καὶ ὁ ἐνεστώς. καὶ τὸ ὑφαιρεῖν τὸ ε ἐν τῷ ἱρεύς, καὶ ἵρηξ. καὶ τὸ προστιθέναι τοῖς τρίτοις προσώποις τῶν ὑποτακτικῶν τὸ σι. οἷόν ἐστι τὸ ἔλθῃσι, καὶ τὸ λάβῃσι, καὶ ταῖς δοτικαῖς, θύρῃσιν, ὕλῃσι. καὶ τὸ λέγειν οὔνομα, καὶ νοῦσον τὸ ὄνομα, καὶ τὴν νόσον. καὶ κεινόν, καὶ μείλαν ἀντὶ τοῦ κενόν, καὶ μέλαν. τὸ μεταβάλλειν τὸ α ἐπειδὰν ἐκτείνηται εἰς τὸ η· ὡς τὸ ἥρη, ἀθήνη. ἔστι δ' ὅτε ἐκ τοῦ ἐναντίου, τὸ η εἰς τὸ α. ὡς τὸ λελασμένος, ἀντὶ τοῦ λελησμένος. καὶ τὸ διαιρεῖν τὰ περισπώμενα ῥήματα, φρονέων, καὶ νοέων. καὶ τὰς γενικὰς τὰς εἰς ους ληγούσας· ὡς τὸ διομήδεος, σαπφόος. καὶ τὰς περισπωμένας γενικὰς τῶν πληθυντικῶν· ὡς τὸ πυλέων, περσέων. καὶ τῶν οὐδετέρων τὰς πληθυντικὰς εὐθείας τὰς εἰς τὸ α ληγούσας, ὡς τὸ στήθεα, μέλεα. καὶ τὰς γενικὰς αὐτῶν ὁμοίως, ἰδίως δὲ λέγουσι, καὶ τὸ τετράφαται καὶ τὰ τοιαῦτα.

Μάλιστα δὲ τῇ ἀτθίδι διαλέκτῳ κέχρηται· καὶ γὰρ ἐπὶ μιατος ἦν. καὶ ἔπει λέγεται παρὰ τοῖς ἀττικοῖς λεὼς ὁ λαὸς

κατὰ ταύτην τὴν συνήθειαν ἔστι παρ' αὐτῷ ὁ πηνέλεως, καὶ τὸ χρέως. ἔστι δὲ αὐτοῖς σύνηθες καὶ τὸ συναλείφειν ἐνίοτε, καὶ ἀντὶ δύο ποιεῖν μίαν συλλαβήν· τὸ ἔπος τοὖπος· τὸ ἱμάτιον θοἰμάτιον· οἷς ἐστιν ὅμοιον ῥώοντο δὲ προὔκυψαν ἀολλέες. καὶ πεδία λωτοῦντα, ἀντὶ τοῦ λωτόοντα. καὶ τὸ ὑφαιρεῖν τὸ η τῶν εὐκτικῶν τῶν τοιούτων· δοκοίης, δοκοῖς· τιμῴης, τιμῷς. ἔστιν ἀττικὸν ᾧ ἀκολούθως εἴρηται· ἄλλοι δὲ διακριθῆτε τάχιστα. ὁμοίως δὲ καὶ τοῦτο ἀττικόν· οἱ πλέονες κακίους. παῦροι δέ τε πατρὸς ἀρείους. ὃ λέγομεν κακίονες, καὶ ἀρείονες. καὶ τὰς αἰτιατικὰς τῶν τοιούτων μὴ διαιρεῖν· τοὺς βοῦς. τοὺς ἰχθῦς. βοῦς περιτεμνομένους. καὶ ἰχθῦς, ὄρνιθάς τε. κἀκεῖνο δὲ εἴρηται ἀττικῶς, οὐδέ τε μιν σθένει ἶ ῥήγνυσι ῥέοντες, ὡς ζεύγνυσιν, ὄμνυσι. καὶ τὸ ἐξαιρεῖν τὰ βραχέα τῶν ἀττικῶν· λούεται, λοῦται. οἴομαι, οἶμαι. οὕτως οὖν καὶ τὸ λῦτο ἀντὶ τοῦ ἐλύετο. τῶν αὐτῶν ἐστι καὶ τὸ ἑώρων, καὶ ἑωνησάμην, ἐκ περιουσίας προστιθέντων τὸ ε. ὅθεν ἐστὶ καὶ τὸ ἐῳνοχόει. καὶ τὸ συναιρεῖν τὸ ι ἐπὶ τῶν τοιούτων· ἠϊόνες· νηρηΐδες. οὕτω καὶ τὸ σφῶ δὲ μάλ' ἠθέλετον. καὶ ἐπὶ τῆς εἰς ι καθαρὸν ληγούσης δοτικῆς παρατελευτῶντος τοῦ α· κέραϊ. γέραϊ· σέλαϊ. ἔστι δὲ καὶ τοῦτο ἀττικὸν τὸ λέγειν ἔστων, καὶ ἐπέσθων, ἀντὶ τοῦ ἔστωσαν, καὶ ἐπέσθωσαν. ἔστι δὲ καὶ ἡ τῶν εὐκτικῶν χρῆσις ἀντὶ τῶν παρεληλυθότων τῶν ὁριστικῶν τῆς αὐτῆς συνηθείας. ᾗ καὶ ὅμηρος χρῆται συνεχῶς, καὶ τοῖς θηλυκοῖς ἀρσενικὰ ἄρθρα, ἢ μετοχάς, ἢ ἐπίθετα συντάσσειν, ὡς τὼ χεῖρε, τὼ γυναῖκε. καὶ παρὰ πλάτωνι διάγοντε, καὶ φέροντε. καὶ ἡ σοφὸς γυνή. καὶ ἡ δίκαιος. οὕτως οὖν καὶ ὅμηρος ἐπὶ ἥρας, καὶ ἀθηνᾶς ἔφη· οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ, καὶ ἤτοι ἀθηναίη ἀκέων ἦν. καὶ κλυτὸς ἱπποδάμεια.

Καὶ περὶ τὴν σύνταξιν δὲ, πολλὰ ἰδιώματα ἐχουσῶν τῶν διαλέκτων. ὅταν εἴπῃ ὁ ποιητής, ἀλλ' ἄγ' ὀϊστευσον Μενέλαε κυδάλιμοιο, Ἀττικὴν δείκνυσι τὴν συνήθειαν. ὅταν δὲ εἴπῃ δέξατό οἱ σκῆπτρον· καὶ θέμιστι δὲ καλλιπαρήῳ δέκτο δέπας. αὐτοῖς τοῖς διορίζει. ὅπως μὲν οὖν τὰς πάντων ἑλλήνων φωνὰς ἀθροίζων, ποικίλον ἀπεργάζεται τὸν λόγον. καὶ χρῆται ποτὲ μὲν ταῖς ξέναις, ὥσπερ εἰσὶν αἱ προειρημέναι, ποτὲ δὲ ταῖς ἀρχαίαις ὡς ὅταν λέγῃ ἄορ, καὶ σάκος. ποτὲ δὲ ταῖς κοιναῖς, καὶ συνήθεσιν, ὡς ὅταν λέγῃ ξίφος, καὶ ἀσπίδα. δῆλον καὶ θαυμάσειέ τις ὅτι καὶ κοιναὶ λέξεις παρ' αὐτῷ σώζουσι τὸ σεμνὸν τοῦ λόγου. ἐπεὶ δὲ ὁ ἐγκατάσκευος λόγος φιλεῖ τὴν τοῦ συνήθους ἐξαλλαγὴν, ὑφ' ἧς ἐναργέστερος, ἢ σεμνότερος, ἢ πάντα τερπνότερος γίνεται. καὶ ἡ μὲν τῆς λέξεων ἐκτροπὴ καλεῖται τρόπος. ἡ δὲ τῆς συνθέσεως, σχῆμα. καὶ ἔστι τὰ εἴδη τούτων, ἐν τῇ τεχνολογίᾳ ἀναγεγραμμένα. θεασώμεθα τί τούτων ὁ Ὅμηρος παραλέλειπται. ἢ τί ἕτερον ὑπὸ τῶν μετ' αὐτὸν εὕρηται, ὃ ἐκεῖνος οὐκ εἶπε πρῶτος.

Τῶν τοίνυν τρόπων ὀνοματοποιΐα, καὶ πάνυ σύνηθές ἐστιν αὐτῷ. εἴδε τε καὶ τὴν παλαιὰν ἀρχὴν τῶν ὀνομάτων, ὅτι οἱ πρῶτοι τὰ πράγματα ὀνομάσαντες, πολλὰ ἀπὸ τοῦ συμβεβηκότος προσηγόρευσαν. καὶ τὰς ἀνάρθρους φωνὰς τοῖς ἐγγραμμάτοις ἐξετύπωσαν. ὡς τὸ φυσᾶν, καὶ τὸ πρίζειν καὶ μυκᾶσθαι, καὶ τὸ βροντᾶν, καὶ τὰ τούτοις ὅμοια. ὅθεν καὶ αὐτὸς ἐποίησέ τινα ὀνόματα οὐκ ὄντα πρότερον πρὸς τὰ σημαινόμενα τυπώσας. οἷον τὸ δοῦπον, καὶ τὸ ἄραβον, καὶ τὸ βόμβον, καὶ τὸ ῥοχθεῖ, καὶ τὸ ἀνέβραχε, καὶ τὸ σίζε, καὶ τὰ τοιαῦτα, ὧν οὐκ ἂν εὕροι τις εὐσημότερα. καὶ πάλιν ἄλλας τινὰς λέξεις ἐπ' ἄλλων πραγμάτων κειμένας ἐπ' ἄλλα μετατέθεικεν. οἷον ἐστὶ καὶ τοῦτο, φλέγμα καλεῖ

φορεῦσα, ὃ σημαίνει τὴν κατὰ τὸ φλέγειν ἐνέργειαν· καὶ τὸν πυρετόν, ἀντὶ τοῦ πυρός· οἷς ὅμοιόν ἐστι καὶ τὸ χαλκοτύπους ὠτειλάς· βούλεται γὰρ εἰπεῖν τὰς ὑπὸ τοῦ χαλκοῦ τετυπωμένας. καὶ ὅλως πολλῇ τῇ καινότητι κέχρηται μετὰ πολλῆς τῆς ἐξουσίας. τὰ μὲν ἐξαλλάσσων παρὰ τὴν συνήθειαν, τὰ δὲ εὐσημότερα καθιστὰς ἕνεκα τοῦ, κάλλος, καὶ μέγεθος ἐμποιεῖν τοῖς λόγοις.

Πολλὴ δέ ἐστιν αὐτῷ καὶ ἡ τῶν ἐπιθέτων εὐπορία, ἅπερ οἰκείως, καὶ προσφυῶς τοῖς ὑποκειμένοις ἡρμοσμένα, δύναμιν ἴσην ἔχει τοῖς κυρίοις ὀνόμασιν, ὥσπερ τῶν θεῶν ἑκάστῳ ἰδίαν τινὰ προσηγορίαν προστίθησι. τὸν δία μητίετην, καὶ ὑψιβρεμέτην. καὶ τὸν ἥλιον ὑπερίονα, καὶ τὸν ἀπόλλωνα φοῖβον καλῶν. μετὰ δὲ τὴν ὀνοματοποιΐαν ἴδωμεν καὶ τοὺς ἄλλους τρόπους.

Κατάχρησις μὲν δὴ ἥπερ ἀπὸ τοῦ κυρίως δηλουμένου μεταφέρει τὴν χρῆσιν, καὶ ἐφ' ἕτερον οὐκ ἔχον ὄνομα κύριον. ἔστι παρὰ τῷ ποιητῇ ὅταν λέγῃ σειρὴν χρυσείην. σειρὰ γὰρ κυρίως ἐπὶ τοῦ σχοινίου τάσσεται. καὶ ὅταν φῇ αἰγείην κυνέην. ἤδη γὰρ περικεφαλαία κέκληται κυνέη παρ' αὐτῷ, ἐπεὶ ἐκ δέρματος κυνὸς γενέσθαι αὐτὴν ἔθος ἦν. ἐνταῦθα δὲ καὶ τὴν ἐξ αἰγὸς δέρματος γινομένην κυνέην καλεῖ.

Μεταφορὰ δὲ ἥπερ ἐστὶν ἀπὸ τοῦ κυρίως δηλουμένου πράγματος ἐφ' ἕτερον μετενηνεγμένη, μετὰ τῆς ἀμφοῖν ἀναλόγου ὁμοιότητος. καὶ πολλή ἐστι, καὶ ποικίλη παρ' αὐτῷ. οἷόν ἐστι· ἧκεν ἀπορρήξας κορυφὴν ὄρεος μεγάλοιο. καὶ νῆσος τὴν πέρι πόντος ἐστεφάνωται. ὃν γὰρ λόγον ἔχει κορυφὴ πρὸς ἄνθρωπον, τοῦτον καὶ ἡ ἀκρώρεια πρὸς τὸ ὄρος, καὶ ὃν στέφανος πρὸς τοῦτον ὃν περίκειται, τοῦτον ἡ θάλασσα πρὸς νῆσον. ἀλλὰ τὸ χρήσασθαι τοῖς ὁμοίοις ἀντὶ τῶν κυρίων ὀνόμασιν εὐειδέστερον, καὶ ἐναργέστερον ποιεῖ

τὸν

Landesbibliothek Oldenburg

τὸν λόγον.

Εἰσὶ δὲ παρ' αὐτῷ μεταφοραὶ ποικίλαι. αἱ μὲν, ἀπὸ ἐμψύχων, ἐπὶ ἔμψυχα. οἷον φθέγξατο δ' ἡνίοχος νηὸς κυανοπρώροιο, ἀντὶ τοῦ ναύτης. καὶ, βῆ δὲ μετ' Ἀτρείδην Ἀγαμέμνονα ποιμένα λαῶν, ἀντὶ τοῦ βασιλέα. αἱ δὲ, ἀπὸ ἐμψύχων, ἐπὶ ἄψυχα. οἷον ὑπαὶ πόδα νήατον Ἴδης, τὸ ὑπώρειαν. καὶ, οὖθαρ ἀρούρης, τὸ γόνιμον. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἔμψυχα, οἷον σιδήρεον νύ τοι ἦτορ, ἀντὶ τοῦ σκληρόν. ἀπὸ δὲ ἀψύχων ἐπὶ ἄψυχα, οἷον σπέρμα πυρὸς σώζων, ἀντὶ τοῦ γόνιμον ἀρχήν. ὥσπερ δὲ ὀνομάτων, οὕτω καὶ ῥημάτων εἰσὶ παρ' αὐτῷ μεταφοραί. οἷον, ἠϊόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω, ἀντὶ τοῦ ἠχοῦσιν.

Ἕτερος τρόπος ἐστὶν ἡ καλουμένη μετάληψις, κατὰ συνωνυμίαν σημαίνουσα πρᾶγμα διάφορον. οἷον, ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσι. βούλεται γὰρ σημῆναι τὰς κυρίως ὀξείας λεγομένας νήσους, ἐπεὶ συνωνυμεῖ τὸ θοὸν τῷ ὀξεῖ. ὀξὺ δὲ οὐ μόνον τὸ κατὰ κίνησιν ταχύ ἐστιν, ἀλλὰ καὶ τὸ κατὰ σχῆμα προηγούμενον εἰς λεπτότητα. τοιοῦτόν ἐστι καὶ τό, ἐγὼ δὲ θόωσα παραστάς.

Ἄλλος τρόπος συνεκδοχὴ λεγομένη ἀπὸ τοῦ κυρίως σημαινομένου, ἕτερόν τι τῶν ὑπὸ τὸ αὐτὸ γένος ὄντων παριστῶσα. καὶ ἔστιν ὁμοίως ὁ τρόπος οὗτος ποικίλος. ἐνδεχόμεθα γὰρ ἤτοι ἀπὸ τοῦ ὅλου τὸ μέρος. πρὸς τεῖχος ἐΰδμητον βόας αὔας. ἀπὸ γὰρ τῶν βοῶν τὰς βύρσας, ἐξ ὧν ἀσπίδες δηλοῦν βούλεται. ἢ ἀπὸ μέρους τὸ ὅλον. οἷον, τοίην δ' αὖ κεφαλὴν ποθέω. ἀπὸ γὰρ τῆς κεφαλῆς τὸν ἄνδρα σημαίνει. καὶ ὅταν λέγῃ λευκώλενον τὴν καλήν, καὶ εὐκνήμιδας τοὺς εὐόπλους. ἢ ἀπὸ ἑνὸς τὰ πολλά, ὡς ὅταν εἴπῃ ἐπὶ τοῦ Ὀδυσσέως, ἐπεὶ Τροίης ἱερὸν πτολίεθρον ἔπερσεν. οὐ γὰρ μόνος, ἀλλὰ σὺν τοῖς ἄλλοις Ἕλλησι τὴν Τροίαν

ἐπόρθησεν. ἀπὸ δὲ τῶν πολλῶν, τὸ ἕν· οἷον στήθεά θ' ἱμερόεντα· τουτέστι τὸ στῆθος. ἀπὸ δὲ εἴδους, γένος. μαρμάρῳ ὀκριόεντι βαλών· εἶδος γὰρ λίθου ὁ μάρμαρος. ἀπὸ δὲ γένους, τὸ εἶδος. οἷον ὄρνιθας γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι· καὶ γὰρ οὐ πάντας, ἀλλὰ τοὺς μαντικοὺς ὄρνιθας ἐπιφέρειν βούλεται. ἀπὸ δὲ τῶν παρεπομένων, τὴν πρᾶξιν, οἷον πάνδαρος, ᾧ καὶ τόξον ἀπόλλων αὐτὸς ἔδωκεν· ἀπὸ γὰρ τοῦ τόξου, τὴν περὶ τὸ τόξον ἐμπειρίαν δηλοῖ. καὶ, ἑζόμενοι, λεύκαινεν ὕδωρ· καὶ, οἱ δὲ πανημέριοι σεῖον ζυγόν· ἀπὸ γὰρ τοῦ συμβαίνοντος ἐπὶ μὲν τοῦ προτέρου τὸ ἤλαυνον, ἐπὶ δὲ τοῦ δευτέρου τὸ ἔρεχον δηλοῖ. ἀπὸ δὲ τοῦ προηγουμένου, τὸ ἀκόλουθον. λῦσε παρθενικὴν ζώνην· ἀκόλουθον γὰρ τούτῳ τὸ διεκόρευσιν. ἀπὸ δὲ τοῦ ἀκολούθου, τὸ προηγούμενον. ὡς ὅταν ἐναρίζειν λέγῃ τὸ φονεύειν, ἀντὶ τοῦ σκυλεύειν.

Ἔστι δὲ καὶ ἄλλος τρόπος ἡ μετωνυμία, λέξις ἐπ' ἄλλου κυρίως κειμένη, ἄλλο δὲ κατὰ ἀναφορὰν σημαίνουσα. οἷον ἐστὶ παρ' αὐτῷ· ἦμος ὅτ' αἰζηοὶ δημήτρα βωλοτομοῦσι· τὸν γὰρ πύρινον καρπὸν δηλοῖ, ἀπὸ τῆς εὑρούσης δήμητρος ὀνομάσας. καὶ ὅταν εἴπῃ· σπλάγχνα δ' ἄρ' ἐμπείραντες, ὑπείρεχον ἡφαίστοιο. ἐν γὰρ τούτῳ τοῦ ἡφαίστου ὀνόματι τὸ πῦρ λέγει. ὅμοιον δέ ἐστι τοῖς εἰρημένοις καὶ τοῦτο, ὅς κεν ἐμῆς γε χοίνικος ἅπτηται· λέγει γὰρ τὰ ἐμπεριεχόμενα τῇ χοίνικι.

Ἔτι δὲ καὶ ἄλλος τρόπος ἡ ἀντωνομασία, λέξις δι' ἐπιθέτων, ἢ συνωνύμων ὄνομα ἴδιον σημαίνουσα. ὡς ἐν τούτῳ, πηλείδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσιν ἀτρείδην προσέειπε· δηλοῖ γὰρ διὰ τούτων τόν τε ἀχιλλέα, καὶ τὸν ἀγαμέμνονα. καὶ πάλιν. θάρσει τριτογένεια φίλον τέκος. καὶ ἐν ἄλλοις, φοῖβος ἀκερσεκόμης. τὸ μὲν γὰρ τὴν ἀθηνᾶν· τὸ δέ, τὸν ἀπόλλωνα δηλοῖ.

Ἔστι καὶ ἡ ἀντίφρασις λέξις, τὸ ἐναντίον, καὶ τὸ παρακείμενον σημαίνουσα· ὡς ἐν τούτῳ· οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν ἀχιλλεύς· βούλεται γὰρ εἰπεῖν τὸ ἐναντίον, ὅτι ἰδὼν αὐτοὺς ἐλυπήθη.

Ἔστι καὶ ἡ ἔμφασις, ἥπερ δι' ὑπονοίας ἐπίτασιν τοῦ λεγομένου παρίστησιν· οἷον, αὐτὰρ ὅτ' ἐς ἵππον κατεβαίνομεν, ὃν κάμ' ἐπειός· ἐν γὰρ τῷ κατεβαίνομεν, τὸ μέγεθος τοῦ ἵππου ἐμφαίνει. ὅμοιον δὲ κἀκείνῳ· πᾶν δ' ὑπερθερμάνθη ξίφος αἵματι· καὶ γὰρ ἐν τούτῳ παρέχει μείζονα ἔμφασιν, ὡς βαπτισθέντος οὕτω τοῦ ξίφους, ὥστε θερμανθῆναι. τοιοίδε μὲν οἱ τῶν λεγομένων τρόποι, ὑπὸ ὁμήρου πεποιημένοι.

Ἴδωμεν δὲ καὶ τὰς τῆς συντάξεως ἐκτροπάς, τὰ καλούμενα σχήματα, ἃ καὶ ταῦτα πρῶτος ὅμηρος ὑπέδειξε. τὸ δὲ σχῆμά ἐστι λόγος ἐξηλλαγμένος τοῦ ἐν ἔθει κατά τινα πλάσιν κόσμου, ἢ χρείας χάριν. κάλλος μὲν γὰρ τοῖς λόγοις περιτίθησι διὰ τῆς ποικιλίας, καὶ μεταβολῆς τοῦ λόγου, καὶ σεμνοτέραν ἀπεργάζεται τὴν φράσιν. χρείαν δὲ εἰς τὸ ἐξάραι, καὶ ἐπιτεῖναι τὰς ποιότητας, καὶ δυνάμεις τῶν πραγμάτων.

Τῶν δὲ σχημάτων, τὰ μὲν κατὰ πλεονασμὸν ποιεῖ· ἐνίοτε μὲν διὰ τὸ μέτρον, ὡς ἐν τούτῳ, χρυσοῦ δὲ στήσας ὀδυσσεὺς δέκα πάντα τάλαντα. τὸ γὰρ πάντα μηδὲν συντελοῦν ἔγκειται. ἔστι δὲ ὅτε κόσμου χάριν. ἦ μάλα δὴ τέθνηκε μενοιτίου ἄλκιμος υἱός. τὸ γὰρ μάλα πλεονάζει κατὰ συνήθειαν ἀττικήν.

Ἄλλοτε δὲ διὰ πλειόνων λέξεων τὸ σημαινόμενον ἀποδίδωσιν, ὃ καλεῖται περίφρασις· ὡς ὅταν λέγῃ, υἷας ἀχαιῶν τοὺς ἀχαιούς· καὶ βίην ἡρακλείην τὸν ἡρακλέα. καὶ τὰ τοιαῦτα δὲ κατὰ ἐναλλαγὴν σχηματίζει, τὴν εἰθισμένην

τάξιν ἀναστρέφων.

Καὶ ἤτοι ἐν μέσῳ λέξιν ἐντιθείς, ὃ καλεῖται ὑπερβατόν, ὡς ἐν τούτῳ· αἵματος ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς· ἀντὶ τοῦ λέων ταῦρον κατεδηδώς. καὶ λέξιν μὲν οὕτως ὑπερβιβάζει· ἐνίοτε δὲ καὶ ὅλον λόγον, ὡς ἐν τούτῳ· ἀργεῖοι δὲ μέγ' ἴαχον· ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' ἀχαιῶν, μῦθον ἐπαινήσαντες ὀδυσσῆος θείοιο. τὸ δὲ ἑξῆς ἐστιν. ἀργεῖοι δὲ μέγ' ἴαχον μῦθον ἐπαινήσαντες ὀδυσῆος θείοιο.

Τοῦ δ' αὐτοῦ εἴδους ἔχεται καὶ ἡ καλουμένη παρεμβολή, ὅταν ἔξωθέν τινα μηδὲν προσήκοντα τοῖς προκειμένοις ἐμβάλληται· ἃ κἂν ἐξέλῃ τις, οὐδὲν τῆς συντάξεως ἀφαιρεῖ, οἷόν ἐστι· ναὶ μὰ τόδε σκῆπτρον. τὸ μὲν οὔποτε φύλλα, καὶ ὄζους φύσει, ἐπειδὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν, οὐδ' ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε, καὶ τὰ ἑξῆς, ὅσα περὶ τοῦ σκήπτρου λέγει· εἶτα ἐπιφέρει τὸ ἀκόλουθον τῇ ἀρχῇ· ἦ ποτ' ἀχιλλῆος ποθὴ ἵξεται υἷας ἀχαιῶν.

Ἔστι παρ' αὐτῷ καὶ ἡ παλιλλογία, ἐπανάληψις οὖσα μέρους τινὸς λόγου, ἢ πλειόνων λέξεων ἐπαναλαμβανομένων· ὃ καὶ ἀναδίπλωσις καλεῖται. οἷόν ἐστι, τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν· εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ· ποτὲ δὲ παρεντιθεμένων ἄλλων τινῶν, καὶ τῶν αὐτῶν πάλιν ἀντιλαμβανομένων. ὡς ἐν τῷ, ἀλλ' ὁ μὲν αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας, αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἄλλων· ἔστι δὲ τὸ σχῆμα κίνησιν ἐμφαῖνον τοῦ λέγοντος, καὶ ἅμα κινοῦν τὸν ἀκροατήν.

Τοῦ αὐτοῦ γένους ἐστὶ καὶ ἡ ἐπαναφορά, ὅταν ἐν ἀρχῇ πλειόνων κώλων ταυτὸν μόριον ἐπαναλαμβάνηται. τούτου δὲ παράδειγμα παρὰ τῷ ποιητῇ. νιρεὺς δ' αὖ σύμηθεν

ἄγε τρεῖς νῆας ἐΐσας, νιρεὺς ἀγλαΐης υἱός, χαρόποιό τ' ἄνακτος· νιρεὺς ὃς κάλλιστος ἀνὴρ ὑπὸ ἴλιον ἦλθεν· καὶ ἔστιν ὁμοίως τὸ σχῆμα οἰκειότατον κινήσεως, καὶ εὐεπίας·

Ἔστι παρ' αὐτῷ καὶ ἡ ἐπάνοδος· ὅπερ ἐστὶν ὅταν δύο πράγματα, ἢ ὀνόματα προτιθείς τις μήπω τοῦ νοῦ πέρας ἔχοντος, ἐπανίῃ, ἐφ' ἑκάτερον τῶν ὀνομάτων ἀποδιδοὺς τὸ τῆς διανοίας ἐλλιπές, ὡς ἐν ἐκείνῳ, ἄρης τε βροτολοιγὸς, ἔρις τ' ἄμοτον μεμαυῖα, ἡ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊοτῆτος· ἄρης δ' ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα. ἔργον δὲ τοῦ σχήματος ποικιλία, καὶ σαφήνεια·

Ὑπάρχει δὲ ὁμοιοτέλευτον σχῆμα παρ' αὐτῷ, ἐν ᾧ τὰ κῶλα εἰς ὁμοίας τῶν ἤχων λέξεις τελευτᾷ, τὰς αὐτὰς συλλαβὰς ἐν τοῖς πέρασιν ἔχοντα, οἷόν ἐστι, χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν· καὶ ἐν ἐκείνῳ, οὐλύμπῳ, ὅθι φασὶ θεῶν ἕδος ἀσφαλὲς αἰεὶ ἔμμεναι, οὔτ' ἀνέμοισι τινάσσεται, οὔτε ποτ' ὄμβρῳ δεύεται, οὔτε χιὼν ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη πέπταται ἀνέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη· ὅταν δὲ εἰς ὀνόματα ὁμοίως κλινόμενα, λήγωσιν αἱ περίοδοι, ἢ τὰ κῶλα, καὶ ταῦτα εἰς πτώσεις ὁμοίας, ὁμοιόπτωτον τοῦτο ἰδίως ὀνομάζεται· οἷόν ἐστιν, ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἁδινάων, πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων· τὰ δὲ εἰρημένα, καὶ τὰ τοιαῦτα μάλιστα προσίθησι τῷ λόγῳ χάριν, καὶ ἡδονήν· δεῖγμα δὲ τῆς περὶ σύνθεσιν φιλοτεχνίας, ὅτι καὶ πολλάκις, καὶ δυσὶ σχήμασιν ἐν τοῖς αὐτοῖς ἔπεσι κέχρηται, τῇ τε ἐπαναφορᾷ, καὶ τῷ ὁμοιοτελεύτῳ, ὡς ἐν ἐκείνῳ· εὖ μέν τις δόρυ θηξάσθω· εὖ δέ τις ἀσπίδα θέσθω· εὖ δέ τις ἵπποισι δεῖπνον δότω ὠκυπόδεσσι·

Τούτων ἔχεται κἀκεῖνο τὸ σχῆμα τὸ καλούμενον πάρισον· ὃ γίνεται ἐκ δυοῖν, ἢ πλειόνων κώλων, ἴσας ἀλλήλαις τὰς

λέξεις ἐχόντων. καὶ τοῦτο δὲ πρῶτος ὅμηρος ἐποίησεν εἰπών, αἴδεσθεν μὲν ἀνήνασθαι· δεῖσαν δ' ὑποδέχθαι. καὶ πάλιν, μηνιθμὸν μὲν ἀπορρίψαι, φιλότητα δ' ἑλέσθαι. καὶ τοῦτο δὲ ὅτι πολὺν ἔχει τῆς φράσεως κόσμον, ἄδηλον. τῆς δὲ ὁμοίας χάριτος ἔχεται καὶ ἡ παρονομασία. ὅταν παρὰ τὸ προκείμενον ἕτερον ὄνομα ἐμφερὲς τεθῇ αὐθὺς κατὰ σύμμετρον διάστημα. οἷόν ἐστιν, οὐδὲ γὰρ οὐδὲ δρύαντος παῖς, κρατερὸς λυκόοργος. καὶ ἐν ἄλλῳ. τῶν ἤτοι πρόθοος θοὸς ἡγεμόνευεν. καὶ τὰ μὲν προειρημένα ἤτοι κατὰ πλεονασμόν, ἢ κατά τινα ποιὰν πλάσιν σχηματίζεται· ἄλλα δὲ κατὰ ἔνδειαν λέξεως, ὧν ἐστιν ἡ καλουμένη ἔλλειψις, ὅταν καὶ ἄνευ τοῦ ῥηθῆναί τινα λέξιν ἐκ τῶν προειρημένων ἡ διάνοια φαίνηται. οἷόν ἐστι, δώδεκα δὲ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων, πεζὸς δ' ἕνδεκά φημι. λείπει γὰρ τὸ ἀλαπάξαι. νοεῖται δὲ ἐκ τῶν προειρημένων. κἀκεῖνο δὲ λέγεται κατὰ ἔλλειψιν. εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. λείπει γὰρ τὸ ἐστί. καὶ ὢ πόποι. ἦ μοι ἄχος μεγαλήτορος αἰνείαο. λείπει γὰρ τὸ πάρεστιν, ἢ συμβέβηκεν, ἤ τι τοιοῦτον. τοιοῦτόν ἐστι καὶ τὸ ἀσύνδετον. ὁπόταν ἐξαίρωνται οἱ σύνδεσμοι οἱ συνδέοντες τὴν φράσιν. ὅπερ οὐ μόνον τάχους, ἀλλὰ καὶ ἐμφάσεως παθητικῆς χάριν γίνεται. οἷόν ἐστι καὶ τοῦτο. ἴομεν ὡς ἐκέλευες ἀνὰ δρυμὰ φαίδιμ' ὀδυσσεῦ. εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα κίρκης. ἐν τούτοις γὰρ ὁ καὶ σύνδεσμος ἐξήρηται, τὸν τάχιστον τρόπον τῆς ἀπαγγελίας ζητοῦντος τοῦ λέγοντος. ἔστιν ἐν τοῖς σχήμασι καὶ τὸ καλούμενον ἀσύντακτον. ὃ καὶ ἀλλοίωσις καλεῖται, ἐπειδὰν ἡ συνήθης τάξις ἀλλοία γίνηται. καὶ ἔστι ποικίλη ἕνεκα τοῦ κόσμον, ἢ χάριν ἐμποιεῖν τοῖς λόγοις τῆς μὴ συνήθους τάξεως οὐ δοκούσης ἀκολουθεῖν. ἐπί τι δὲ ἴδιον ἀναφορᾶς

ἐχούσης ἀκολουθίαν.

Συμβαίνει δὲ πολλαχῶς ἐπὶ τὰ γένη τῶν ὀνομάτων ἐναλλασσομένων, οἷον ὅτι τό, κλυτὸς ἱπποδάμεια, ἀντὶ τοῦ κλυτή. καί, θῆλυς ἐέρση, ἀντὶ τοῦ θήλεια. σύνηθες γὰρ ἦν τοῖς παλαιοῖς χρῆσθαι τοῖς ἀρσενικοῖς, καὶ ἀντὶ τῶν θηλυκῶν, ὡς κρείττοσι, καὶ δυνατωτέροις. οὐκ ἀμέτρως μέντοι, οὐδ' ἀλόγως. ἀλλ' ὅταν δέῃ χρῆσθαι ὀνόματι ἐπιθέτῳ, ἐκτὸς ὄντι τοῦ σώματος περὶ οὗ ἐστιν ὁ λόγος. ἐκεῖνα μὲν γάρ ἐστι περὶ τὸ σῶμα. ὁ μέγας, ἡ μεγάλη. ὁ καλός, ἡ καλή, καὶ τὰ τοιαῦτα. ἐκτὸς δέ, οἷον ἔνδοξος, εὐτυχής. καὶ γὰρ καθολικῶς πάντα τὰ σύνθετα κοινά ἐστιν ἑκατέρου γένους. καὶ ὅταν κοινῶς ἀρρενικῷ, καὶ θηλυκῷ ὀνόματι ἐπιφέρηται ῥῆμα, ἢ μετοχή, τὸ ἀρρενικὸν ἐπικρατεῖ, ὡς ἐν τούτῳ. παρθενικαί τε, καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες.

Τινὰ δὲ καὶ παρὰ τὴν τῶν διαλέκτων ἰδιότητα, ἢ τὴν τότε συνήθειαν λέγεται διαφόρως. οἷόν ἐστιν, ἔχε δέ τε κίονας αὐτὸς μακράς. πολλάκις δὲ καὶ μέτρου χάριν ἐναλλάσσει τὰ γένη. ὡς ἐν τούτῳ. δῶρόν τοι καὶ ἐγὼ τέκνον φίλε δίδωμι. τὸ μὲν γὰρ τέκνον οὐδέτερον ὄνομα. ἐπήνεγκε δὲ ἀρσενικὸν τὸ φίλε, πρὸς τὸ πρόσωπον ἀποτείνας τὸν λόγον. ὅμοιόν ἐστι καὶ τὸ ἀπὸ τῆς διώνης πρὸς τὴν ἀφροδίτην εἰρημένον. τέτλαθι τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένηπερ. τῆς δὲ αὐτῆς ἀναλογίας κἀκεῖνο ἔχεται. ἦλθε δ' ἐπὶ ψυχὴ θηβαίου τειρεσίαο σκῆπτρον ἔχων. τὸ γὰρ ἔχων, οὐ πρὸς τὴν ψυχήν, ἀλλὰ πρὸς τὸ γένος τοῦ σώματος. τουτέστι πρὸς τὸν τειρεσίαν ἥρμοσε. πολλάκις γὰρ οὐ πρὸς τὸν λόγον, ἀλλὰ πρὸς τὸ σημαινόμενον ποιεῖται τὴν ἀπάντησιν. ὡς ἐν τούτῳ. πᾶσιν ὠρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες, ἐλπόμενοι παρὰ ναῦφιν ἀμύμονα πηλείωνα. τὸ γὰρ ἐλπόμενοι οὐχ αἱ φάλαγγες, ἀλλ' οἱ ἄνδρες, ἐξ ὧν αἱ

φάλαγγες συνιστᾶσι.

Καὶ κατ' ἄλλον δὲ τρόπον τὰ γένη ἐξαλλάσσει· ὡς ὅταν φῇ· τῇ νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη· τὸ μὲν οὔποτε ῥοεῖ· ἐπεὶ γὰρ συνωνύμως λέγεται νεφέλη, καὶ νέφος, προθεὶς τὴν νεφέλην, ἐπήνεγκε τὸ οὐδέτερον, νέφος. ὅμοια δ' ἐστὶ τούτῳ κἀκεῖνα τὰ ἔπη, τῶν δ' ὥστ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλά, χηνῶν, ἢ γεράνων, ἢ κύκνων δουλιχοδείρων, ἔνθα, καὶ ἔνθα ποτῶνται ἀγαλλόμεναι πτερύγεσσι. προθεὶς γὰρ οὐδετέρως τὸ γενικὸν τῶν ὀρνίθων ὄνομα, εἶτα θηλυκῶς εἰπὼν τὰ εἰδικά, ἐπήνεγκε πάλιν οὐδετέρως τὸ κλαγγηδὸν προκαθιζόντων, ἀποδιδοὺς τὸ οἰκεῖον τῷ γενικῷ ὀνόματι τῶν ὀρνίθων. ἅμα δὲ τῷ γένει, καὶ τὸν ἀριθμὸν ἐναλλάσσει πολλάκις ὁ ποιητὴς λέγων· ἡ πληθὺς ἐπὶ νῆας ἀχαιῶν ἀπονέοντο· προθεὶς γὰρ ἑνικόν, ἐπήγαγε τὸ πληθυντικόν, δηλονότι πρὸς τὸ σημαινόμενον ἀναφέρων. ἐπειδήπερ ἡ πληθὺς τὴν μὲν προσηγορίαν ἔχει ἑνικόν, πολλοὺς δ' ἐν αὐτῷ περιείληφεν.

Ἐκ τοῦ ἐναντίου δέ ἐστι τὸ ὅμοιον· ἐπειδὰν προτεθέντος τοῦ πληθυντικοῦ τὸ ἑνικὸν ἐπενεχθῇ, ὡς ἐν τούτῳ· οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες, πρόσω πᾶς πέτεται· τὸ γὰρ πᾶς, τῷ λόγῳ ἑνικόν ἐστι· τέτακται δὲ ἐπὶ πλήθους, ἴσον δυνάμενον τῷ πάντες. τῆς δὲ αὐτῆς τοῦ σχήματος ἰδέας ἐστὶ κἀκεῖνο· οἳ δὲ πύλον νηλῆος ἐϋκτίμενον πτολίεθρον ἷξον· τοὶ δ' ἐπὶ θινὶ θαλάσσης ἱερὰ ῥέζον· νοοῦνται γὰρ οἱ πύλιοι.

Περὶ δὲ τὰς πτώσεις γίνεται ἀλλοίωσις παρ' αὐτῷ, εὐθείας μὲν, καὶ κλητικῆς ἐναλλασσομένης ἐν τοῖς τοιούτοις. αὐτὰρ ὁ αὖτε θυέστ' ἀγαμέμνονι λεῖπε φορῆναι, καὶ νεφεληγερέτα ζεύς, καὶ δὸς φίλος· οὐ γάρ μοι δοκέεις ὁ κάκιστος ἀχαιῶν. γενικῆς δὲ, καὶ δοτικῆς ἐν τοῖς τοιούτοις· ἥρωσι μὲν προμάχιζεν ἀλέξανδρος θεοειδής· ἀντὶ τοῦ ἡρώων.

καὶ ἐκ τοῦ ἐναντίου. ἡ δ' αὖ τῆς τετάνυστο περὶ σπέεος γλα-
φυροῖο. ἀντὶ τοῦ περὶ σπέσι. καὶ τούτων δὲ ἐστὶν ἡ αἰτία
αὕτη. ὅτι συγγένειαν τινὰ ἐδόκουν ἔχειν πρὸς ἀλλήλας,
ἥ τε εὐθεῖα, καὶ αἰτιατική, καὶ κλητική. διὸ καὶ ἐν τοῖς οὐ-
δετέροις ἐστὶν αἱ αὐταὶ, καὶ ἐν πολλοῖς τῶν ἀρρενικῶν, καὶ
θηλυκῶν. ἥ τε εὐθεῖα, καὶ ἡ αἰτιατική, καὶ ἡ κλητι-
κὴ ἡ αὐτή ἐστιν. ὁμοίως δὲ, καὶ ἡ γενικὴ πρὸς τὴν δοτι-
κὴν ἔχει τινὰ συγγένειαν. ταῦτα γὰρ ἐν τοῖς δυϊκοῖς ἀριθ-
μοῖς ἐπὶ πάντων τῶν ὀνομάτων εὑρίσκεται. ὅθεν εἰκό-
τως παρὰ τὴν συνήθειαν τὰς πτώσεις ἐναλλάσσει. ἐνίοτε
δὲ καὶ λόγους ἐστὶν εὑρεῖν τῆς ἐξαλλαγῆς, ὡς ἐν τῷ, ἐφιστά-
μενοι πεδίοιο. καὶ τὸ διέπρησσον πεδίοιο, ἴσον τῷ ἐπέ-
ρων διὰ τοῦ πεδίου. οὐ δὲ ἔχει παρ' αὐτῷ ἡ τῶν πτώσεων
μεταβολὴ ἐν ἀρχῇ ἑκατέρων τῶν ποιήσεων. ἐν αἷς προ-
θεὶς τὴν αἰτιατικήν, ἐπήνεγκε τὴν εὐθεῖαν, μῆνιν ἄειδε
θεά, ἣ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκε. καὶ ἄνδρα μοι ἔννεπε
μοῦσα πολύτροπον, ὃς μάλα πολλ' ἐπλάγχθη. ἔστι δὲ ὅτε
τῇ γενικῇ τὴν εὐθεῖαν ἐπιφέρει, ὡς ἐν τούτῳ, τῶν, οἱ νῦν βρο-
τοί εἰσι. πολλὰ δὲ καὶ ἑτέρως σχηματίζει. ὡς ἐν τῷ φημὶ
γὰρ οὖν κατανεῦσαι ὑπερμενέα κρονίωνα, ἤματι τῷ, ὅτε νηυ-
σὶν ἐπ' ὠκυπόροισιν ἔβαινον ἀργεῖοι, τρώεσσι φόνον, καὶ
κῆρα φέροντες, ἀστράπτων ἐπιδέξι' ἐναίσιμα σήματα
φαίνων. τούτῳ δὲ ὅμοιον ἐστι κἀκεῖνο. ὁ δ' ἀγλαΐηφι πε-
ποιθὼς, ῥίμφα ἑ γοῦνα φέρει. καὶ ταῦτα γὰρ ἐξήνεγκε κα-
τά τινα ἀρχαϊκὴν συνήθειαν. καὶ οὐδὲ ταῦτα ἀλόγως. εἰ
γάρ τις τὰς μετοχὰς ἀναλύσει εἰς ῥήματα, εὕροι ἂν τὸ
ἀκόλουθον. τὸ γὰρ ἀστράπτων ἴσον ἐστὶ τῷ ἤστραπτε. καὶ τὸ
πεποιθὼς τῷ ἐπεὶ πέποιθε. τούτοις ἐστὶ κἀκεῖνα παραπλή-
σια. οἱ δὲ δύο σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει. καὶ
τὼ δὲ διακρινθέντε, ὁ μὲν, μετὰ λαὸν ἀχαιῶν ἤϊε. θέων

δ' ἡρώων ὅμαδον ἵκε, καὶ τὰ τοιαῦτα. οὐκ ἄλογον γὰρ τὸν μέλλοντα περὶ δυοῖν τινῶν λέγειν, τὸ κοινὸν αὐτῶν προτάξαι τὴν εὐθεῖαν πτῶσιν ἐν ἑκατέρῳ. φυλάξαντα δὲ τὸ κοινὸν τοῦ λόγου, χάριν πολλὴν ἐπιφαίνειν. ἔστι δὲ ὅπου τὴν κοινὴν πᾶσι προθεὶς, τὸν περὶ ἑνὸς ἐπιφέρει λόγον. ὡς ἐν τούτῳ. ἄμφω δ' ἑζομένω γεραρώτερος ἦεν ὀδυσσεύς.

Καὶ τὰ ἄλλα δὲ τῶν ὀνομάτων ἐξαλλάσσει πολλάκις. ποτὲ μὲν τὸ συγκριτικὸν τιθεὶς ἀντὶ τοῦ ὑπερβολικοῦ ἁπλοῦ, ὡς τὸ σαώτερος ὥς κε νέηαι. ποτὲ δὲ τὸ ὑπερθετικὸν ὁμοίως ἀντὶ τοῦ ἁπλοῦ. ὡς τὸ δικαιότατος κενταύρων. τοιαύτη μὲν ἡ ἐξαλλαγὴ ἐν τοῖς ὀνόμασιν. ἐν δὲ τοῖς ῥήμασι γίνεται ἐξαλλαγὴ. τῶν μὲν ἐγκλίσεων, ὡς ὅταν τὸ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ καταληφθῇ, οἷον θαρσῶν νῦν διόμηδες, ἐπὶ τρώεσσι μάχεσθαι, ἀντὶ τοῦ μάχου. ἢ τὸ ὁριστικὸν ἀντὶ τοῦ εὐκτικοῦ. οἷον, πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι, οὐδ' ὀνομήνω. ἀντὶ τοῦ μυθησαίμην, καὶ ὀνομήναιμι. καὶ ἐκ τοῦ ἐναντίου, εὐκτικὸν ἀντὶ ὁριστικοῦ. οἷον, καὶ νύκεν ἔνθ' ἀπόλοιτο ἄρης, ἀντὶ τοῦ ἀπώλετο.

Τῶν δὲ χρόνων, ὅταν ὁ ἐνεστὼς ἀντὶ τοῦ μέλλοντος τεθῇ. ὡς ἐν τούτῳ. τὴν δ' ἐγὼ οὐ λύσω πρίν μιν καὶ γῆρας ἔπεισιν, ἀντὶ τοῦ ἐπελεύσεται. ἢ ἀντὶ τοῦ παρῳχηκότος. ἔνθ' ἤτοι πλυνοὶ ἦσαν ἐπηετανοί. πολὺ δ' ὕδωρ ὑπεκπροῤῥέει, ἀντὶ τοῦ ἔῤῥεε. ἢ μέλλων ἀντὶ τοῦ ἐνεστῶτος. οἱ μὲν δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος. ἢ ἀντὶ τοῦ παρῳχηκότος. δείδω μὴ δὴ πάντα θεὰ νημερτέα εἴπῃ, ἀντὶ τοῦ εἶπε.

Καὶ διαθέσεις δὲ ἐναλλάσσονται παρ' αὐτῷ πολλάκις. καὶ τίθεται ἀντὶ ἐνεργητικῶν παθητικὰ, ἢ μέσα. οἷον, εἵλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἀντὶ τοῦ εἷλκε. καὶ καθορώμενος αἶαν, ἀντὶ τοῦ ὁρῶν. καὶ τοὐναντίον τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ. δωρήσω τρίποδα χρυσοῦν, ἀν-

τί τοι δωρήσομαι.

Ἔστι δὲ ἰδεῖν ὅπως καὶ τοὺς ἀριθμοὺς ἐναλλάσσει, τὸν πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ τίθησιν, ὡς πολλάκις ἐν τῇ συνηθείᾳ, ἐπί τις περὶ ἑαυτοῦ λέγων· οἷον, τῶν ἁμόθεν γε θεὰ θύγατερ Διὸς εἰπὲ καὶ ἡμῖν, ἀντὶ τοῦ ἐμοί. γίνεται δὲ παρ' αὐτῷ καὶ κατὰ πρόσωπα μεταβολή. καθ' ἕνα μὲν τρόπον οὕτως· ἄλλοι μὲν γὰρ πάντες ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ, σοί τ' ἐπιπείθονται, καὶ δεδμήμεθα ἕκαστος· πολλῶν γὰρ ὄντων τῶν θεῶν, ἐν οἷς ἐστι τὸ λέγον πρόσωπον, ἑκάτερον καλῶς ἐξενήνοχε· τό, τε πείθονται, καὶ τὸ δεδμήμεθα.

Καθ' ἕτερον δὲ τρόπον, ὅταν τὸ νῦν ἐάσας, ἀφ' ἑτέρου ἐφ' ἕτερον πρόσωπον μεταβῇ, ὃ προσιδίως ἀποστροφὴ καλεῖται. τῷ δὲ παθητικῷ κινεῖ, καὶ ἄγει τὸν ἀκροώμενον. οἷον ἐστι καὶ αὐτό. Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα· ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωσε νοήσω. ἀπὸ γὰρ τοῦ διηγηματικοῦ, μετέβαλεν εἰς τὸ μιμητικόν. καὶ ἐν αὐτῷ δὲ τῷ διηγηματικῷ πολλάκις χρῆται τῇ ἀποστροφῇ, καὶ μεταβολῇ τῶν προσώπων, ὡς ἐν τούτῳ· ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε νηπιάχοις· οἷς οὔτι μέλει πολεμήϊα ἔργα. Ἀτρείδη σὺ δ' ἔθ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλήν, ἄρχευ' Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας.

Καὶ ἕτερον δὲ εἶδος ἀποστροφῆς ἐστι τοιοῦτον· Τυδείδην δ' οὐκ ἂν γνοίης ποτέροισι μετείη· ἔστι γὰρ ἀντὶ τοῦ οὐκ ἄν τις γνοίη. καὶ πάλιν, ὀδμὴ δ' ἡδεῖα ἀπὸ κρητῆρος ὀδώδει θεσπεσίη, τότ' ἂν οὔτι ἀποσχέσθαι φίλον ἦεν. καὶ μετοχαῖς δὲ χρῆται ἀντὶ ῥημάτων· ὡς ἐν τῷ ἐνὶ κήπῳ καρπῷ βριθομένης, ἀντὶ τοῦ βρίθεται. καί, ἔνθ' οἵ γ' ἐσέλασαν πρὶν εἰδότες, ἀντὶ τοῦ πρὶν εἰδέναι. καὶ τὰ ἄρθρα δὲ ἐναλλάσσει πολλάκις, ἀντὶ τῶν ὑποτακτικῶν τοῖς προτακτι-

κοῖς χρώμενος· καὶ τοὐναντίον· οἷον, τοὺς ἔτεκε ζεφύρῳ ἀνέμῳ ἅρπυια ποδάργη· καὶ θώρηχθ'· ὃ γάρ ἦν οἱ ἀπώλεσε πιστὸς ἑταῖρος· καὶ τοὐναντίον· οὕτω καὶ τὰς προθέσεις εἴωθε μεταλλάσσειν· χθιζὸς ἔβη μετὰ δαῖτα, ἀντὶ τοῦ ἐπὶ δαῖτα. καὶ νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν·

Ὁμοίως καὶ προθέσει πτῶσιν ὀνόματος οὐκ οἰκείαν ἐπιφέρει, ὡς ἐν τούτῳ, μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι, ἀντὶ τοῦ διὰ νυκτός· ἐνίοτε δὲ ἀφαιρεῖ τὰς προθέσεις, οἷον τῆς ὅγε κεῖτ' ἀχέων, ἀντὶ τοῦ περὶ ἧς· καὶ ποτιδέγμενος εἴ τί μιν εἴπῃ, ἀντὶ τοῦ προσείπῃ· καὶ ἄλλας προθέσεις ὁμοίως τὰς μὲν, ὑπαλλάσσει, τὰς δὲ, ἀφαιρεῖ· καὶ ἐπιρρήματά τινα ἐναλλάσσει, τοῖς εἰς τόπον, καὶ τοῖς ἐν τόπῳ, καὶ τοῖς ἐκ τόπου διαφόρως χρώμενος· ἠῶνοι δ' ἑτέρωσε κάθιζον, ἀντὶ τοῦ ἑτέρωθι· καὶ, ἄλλος δ' ἐγγύθεν ἦλθεν, ἀντὶ τοῦ ἐγγύς·

Ἔστι δὲ παρ' αὐτῷ καὶ ἡ τῶν συνδέσμων ἐναλλαγή· οἷον οὐνῆ δ' οὔπωποτ' ἔμικτο· χόλον δ' ἀλέεινε γυναικὸς, ἀντὶ τοῦ χόλον γὰρ ἀλέεινε γυναικός· ταῦτα μὲν δὴ κατὰ λέξιν ἐστὶ σχήματα· οἷς καὶ ἄλλοι πάντες οὐ μόνον ποιηταὶ, ἀλλὰ καὶ πεζῶν λόγων συνθέται κέχρηνται·

Ἔστι δὲ καὶ ἡ διάνοια παρ' αὐτῷ πολλοῖς εἴδεσιν ἐσχηματισμένη· ὧν ἐστὶ καὶ ἡ προαναφώνησις, ἥτις γίνεται ὅταν τις διηγούμενος μεταξὺ, τὸ ἐν ἑτέροις τάξιν ἔχον τοῦ ῥηθῆναι προλέγῃ· ὡς ἐν τούτῳ, ἤτοι ὁ ἰσοῦ τε πρῶτος γεύσεσθαι ἔμελλεν· καὶ ἡ ἐπιφώνησις, οἷόν ἐστι, ῥεχθὲν δέ τε νήπιος ἔγνω·

Ἔστι καὶ τὸ τῆς προσωποποιΐας παρ' αὐτῷ πολὺ, καὶ ποικίλον. πολλὰ μὲν γὰρ, καὶ διάφορα πρόσωπα εἰσάγει διαλεγόμενα· οἷς καὶ ἤθη παντοῖα περιτίθησιν· ἐνίοτε δὲ καὶ τὰ μὴ ὄντα πρόσωπα ἀναπλάσσει· οἷον, ἤ κε μέγ' οἱ μώ-

ξειε γέρων ἱππηλάτα πηλεύς.

Ἔστι δὲ καὶ ἡ διατύπωσις ἐξεργασία πραγμάτων, ἢ γενομένων, ἢ ὄντων, ἢ πραχθησομένων εἰς τὸ παραστῆσαι ἐναργέστερον τὸ λεγόμενον, ὡς ἐν τούτῳ. ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δέ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας. ἢ πρὸς τὸ οἶκτον κινῆσαι. δύσμορον, ὅν ῥα πατὴρ κρονίδης ἐπὶ γήραος οὐδῷ, νούσῳ ἐν ἀργαλέῃ φθίσει, καὶ κακὰ πόλλ' ἐπιδόντα. υἱέας τ' ὀλλυμένους, ἑλκυσθείσας τε θύγατρας, καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα βαλλόμενα προτὶ ἄστυ ἐν αἰνῇ δηϊοτῆτι.

Ἔστι καὶ εἰρωνεία παρ' αὐτῷ λόγος διὰ τοῦ ἐναντίου, δηλῶν τὸ ἐναντίον, μετά τινος ἠθικῆς ὑποκρίσεως, οἷον ἐστὶ τὸ τοῦ ἀχιλλέως. ὁ δ' ἀχαιῶν ἄλλον ἑλέσθω, ὅστις οἷ γ' ἐπέοικε, καὶ ὃς βασιλεύτερός ἐστιν. ἐμφαίνει γὰρ ὅτι οὐκ ἂν ἕτερον εὕροι βασιλικώτερον. καὶ οὗτος μὲν ὁ τρόπος ἐστὶν, ὅταν περὶ ἑαυτοῦ λέγῃ τις εὐτελῶς, ἵνα τὴν ἐναντίαν δόξαν παράσχῃ. ἕτερος δὲ ὅταν τις ἄλλως ἐπαινεῖν προσποιῆται, τῇ ἀληθείᾳ ψέγων. καὶ τοῦτό ἐστι παρ' ὁμήρῳ λεγόμενον ὑπὸ τηλεμάχου. ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος. τῷ γὰρ ἐχθρῷ λέγει, ὅτι ὡς πατὴρ υἱοῦ πεφρόντικας. καὶ πάλιν ὅταν χλευάζων τις ἐπαίρῃ τὸν πέλας, ὡς οἱ μνηστῆρες. ἦ μάλα τηλέμαχος φόνον ἡμῖν μερμερίξει. ἤ τινας ἄξει ἀμύντορας ἐκ πύλου ἠμαθόεντος, ἢ νυ καὶ ἐκ σπάρτηθεν, ἐπεὶ νύ περ οἴεται οὕτως.

Ἔστι δέ τι εἶδος εἰρωνείας καὶ ὁ σαρκασμός. ἐπειδάν τις διὰ τῶν ἐναντίων ὀνειδίζων τινὶ, προσποιῆται μειδιάματος, ὡς ἀχιλλεύς. τοῖσι μὲν ἔμπεδα κεῖται, ἐμεῦ δ' ἀπὸ μόνου ἀχαιῶν εἵλετο. ἔχει δ' ἄλοχον θυμαρέα. τῇ, παριαύων, τερπέσθω.

Τούτοις παραπλησίως ἔχει καὶ ἡ ἀλληγορία· ἥπερ ἕτερον δι' ἑτέρου παρίστησιν· οἷον ὅτι τοῦτο· νῦν μὲν δὴ μάλα πάγχυ μελάνθει νύκτα φυλάξεις, αὐτῇ ἐνὶ μαλακῇ καταλέγμενος, ὡς ἐπέοικε· τὸν γὰρ ἐν δεσμοῖς ὄντα, καὶ ἀνηρτημένον, ἐν κοίτῃ ἁπαλῇ ὑπνώσειν λέγει.

Κέχρηται πολλάκις καὶ τῇ ὑπερβολῇ· ἥτις ὑπεραίρουσα τὴν ἀλήθειαν, πολλὴν ἐπίτασιν ἐμφαίνει· οἷον λευκότεροι χιόνος· θέειν δ' ἀνέμοισιν ὁμοῖοι. τοιούτοις μὲν δὴ τρόποις, καὶ σχήμασι χρησάμενος ὁ Ὅμηρος, καὶ τοῖς μετ' αὐτὸν ὑποδείξας, τῆς ἐπὶ τούτοις εὐδοξίας πρὸς πάντων δικαίως τυγχάνει.

Ἔτι δὲ καὶ χαρακτῆρές εἰσι τῶν λόγων τὰ καλούμενα πλάσματα, ὧν τὸ μὲν, ἁδρόν, τὸ δ' ἰσχνόν, τὸ δέ, μέσον λέγεται, ἴδωμεν ἅπαντα ὅτι παρ' Ὁμήρῳ, τῶν μετ' αὐτὸν ποιητῶν, ἢ λογογράφων ἐπιτηδευσάντων ἕν τι τούτων ἑκάστου, ὧν καὶ ἔστι παραδείγματα.

Θουκυδίδης / Λυσίας / Δημοσθένης

Θουκυδίδου μέν, τὸ ἁδρόν· Λυσίου δέ, τὸ ἰσχνόν· Δημοσθένους δέ, τὸ μέσον.

Τὸ μὲν οὖν ἁδρὸν πλάσμα ἐκεῖνό ἐστι, τὸ καὶ τῇ τῶν λέξεων, καὶ τῇ τῶν νοημάτων κατασκευῇ μεγάλας ἔχον ἐμφάσεις· οἷόν ἐστιν, ὡς φησὶν, σύναγε νεφέλας· ἐτάραξε δὲ πόντον χερσί, τρίαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων· σὺν δὲ νεφέεσσι κάλυψε γαῖαν ὁμοῦ καὶ πόντον, ὀρώρει δ' οὐρανόθεν νύξ.

Ἰσχνὸν δὲ τὸ καὶ τῇ ὕλῃ τῶν πραγμάτων μικρόν, καὶ τῇ λέξει κατισχνασμένον· οἷον ὅτι τοῦτο ὥς φησιν, οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ· ἂψ δ' ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης ἐκλίνθη, ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς· ταρβήσας χαλκόν τ', ἠδὲ λόφον ἱππιοχαίτην.

Μέσον δὲ τὸ ἑκατέρου τούτων μεταξύ, τοῦ μὲν, ἰσχνότερον, τοῦ δὲ, ἁδρότερον· οἷον αὐτὰρ ὁ γ' ἐν μνώθη ῥακέων πολύμητις ὀδυσσεύς· ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν ἔχων βιὸν, ἠδὲ φαρέτρην, ἰῶν ἐμπλείην, ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν.

Ὅτι δὲ καὶ τὸ ἀνθηρὸν εἶδος τῶν λόγων ἐστὶ πολὺ παρὰ τῷ ποιητῇ, κάλλος ἔχον, καὶ χάριν ἐστὶ τὸ τέρπειν, καὶ ἥδειν ὥσπερ ἄνθος, τί ἄν τις καὶ λέγῃ· μεστὴ γάρ ἐστιν ἡ ποίησις τῆς τοιαύτης κατασκευῆς· ἡ μὲν δὴ τῆς φράσεως ἰδέα, τοιαύτην ἔχει ποικιλίαν παρὰ τῷ ὁμήρῳ, οἵαν διήλθομεν, ὀλίγα παραδείγματα θέμενοι, ἐξ ὧν ἐστὶ καὶ τὰ ἄλλα κατανοεῖν.

Ἐπεὶ δὲ παντὸς τοῦ ἀσκουμένου παρ' ἀνθρώποις λόγου, ὁ μέν τις ἐστὶν ἱστορικός, ὁ δὲ πολιτικός, φέρε θεασώμεθα εἰ καὶ τούτων εἰσὶ καὶ ἀρχαὶ παρ' αὐτῷ.

Ὁ μὲν δὴ ἱστορικός ἐστιν, ὁ τῶν γεγονότων πραγμάτων ἔχων διήγησιν. πάσης δὲ διηγήσεως ἀφορμαὶ γίνονται· πρόσωπον· αἰτία· τόπος· χρόνος· ὄργανον· πρᾶξις. πάθος· τρόπος· καὶ οὐδὲν τούτων ἔξω ἐν ἱστορίᾳ περιέχει οὐδεμία διήγησις· οὕτως ἐστὶ παρὰ τῷ ποιητῇ πολλὰ πράγματα ὡς γεγονότα, ἢ ὡς ὄντα διηγουμένῳ· ἐνίοτε δὲ καὶ ἐν ἑκάστῳ τούτων διηγήσεις εὑρεῖν ἐστί· προσώπου μὲν ὡς τὸ τοιόνδε· ἦν δέ τις ἐν τρώεσσι δάρης ἀφνειὸς ἀμύμων, ἱρεὺς ἡφαίστοιο· δύο δέ οἱ υἱέες ἤστην· φηγεὺς, ἰδαῖός τε, μάχης εὖ εἰδότε πάσης· καὶ ἐν οἷς εἴδη τινῶν διαγράφει, ὡς ἐπὶ τοῦ θερσίτου φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα· τὼ δέ οἱ ὤμω κυρτὼ ἐπὶ στῆθος συνοχωκότε· αὐτὰρ ὕπερθε φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη. καὶ ἄλλα πολλά· ἐν οἷς ἢ εἶδος, ἢ τρόπον, ἢ πρᾶξιν, ἢ τύχην προσώπου διέξεισι πολλάκις, ὡς ἐν τούτοις· δάρδανον αὖ πρῶτον τέκετο

νεφεληγερέτα ζεύς, καὶ τὰ ἑξῆς.

Τόπου δὲ ἐστι παρ' αὐτῷ διήγησις, ὁποίαν περὶ τῆς νήσου τῆς γειτνιώσης τῇ τῶν κυκλώπων λέγει. ἐν οἷς τὸ εἶδος τοῦ τόπου διαγράφει, καὶ τὸ πηλίκον, καὶ τὸ ὁποῖον αὐτῇ, καὶ τὰ ἐν αὐτῇ, καὶ τὰ παρ' αὐτῇ. καὶ περὶ τῶν παρακειμένων τῷ ἄντρῳ τῆς καλυψοῦς. ὕλη δὲ σπέος ἀμφιπεφύκει τηλεθόωσα. κλήθρη τ', αἴγειρός τε, καὶ εὐώδης κυπάρισσος, καὶ τὰ ἑξῆς. καὶ μυρία ἄλλα τοιαῦτα.

Χρόνου δὲ, οἷον ἐννέα δὴ βεβάασι διὸς μεγάλου ἐνιαυτοί. καὶ χθιζά τε, καὶ πρωΐζ' ὅτ' εἰς αὐλίδα νῆες ἀχαιῶν ἠγερέθοντο, κακὰ πριάμῳ, καὶ τρωσὶ φέρουσαι. αἰτίας δὲ ἐν οἷς ἐμφαίνει, δι' ὃ γίνεταί τι, ἢ γέγονεν, οἷά ἐστι τὰ ἐν ἀρχῇ τῆς ἰλιάδος εἰρημένα. τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι; λητοῦς, καὶ διὸς υἱός. ὁ γὰρ βασιλῆϊ χολωθεὶς, νοῦσον ἀνὰ στρατὸν ὦρσε κακὴν, ὀλέκοντο δὲ λαοί, οὕνεκα τὸν χρύσην ἠτίμησ' ἀρητῆρα ἀτρείδης, καὶ τὰ ἑξῆς. ἐν γὰρ τούτοις λέγει τὰς αἰτίας. τῆς μὲν ἀχιλλέως, καὶ ἀγαμέμνονος διαφορᾶς, τὸν λοιμόν. τοῦ δὲ λοιμοῦ, τὸν ἀπόλλωνος χόλον. τοῦ δὲ χόλου, τὴν ὕβριν τὴν εἰς τὸν ἱερέα τοῦ δαίμονος.

Ὀργάνου δὲ διήγησιν ὁποίαν διέξεισι τῆς ἀσπίδος, ἣν ἥφαιστος ἀχιλλεῖ κατεσκεύασε. καὶ ἄλλη σύντομος περὶ τοῦ ἕκτορος δόρατος. ἔνθ' ἕκτωρ εἰσῆλθε φίλος, ἐν δ' ἄρα χειρὶ ἔγχος ἔχ' ἑνδεκάπηχυ, πάροιθε δὲ λάμπετο δουρὸς αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης.

Πράξεως δὲ διηγήσεις εἰσὶν, ἄλλαι τε, καὶ αἱ τοιαίδε. οἳ δ' ὅτε δή ῥ' ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, σύν ῥ' ἔβαλον ῥινοὺς, σύν δ' ἔγχεα, καὶ μένε' ἀνδρῶν χαλκεοθωρήκων. ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι, ἔπληντ' ἀλλήλοισι. πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.

πάθους δὲ διήγησίς ἐστιν, ἐν ᾗ τὸ συμβαῖνον ἐξ αἰτίου, ἢ ἐξ ἐνεργείας τινὸς σαφηνίζεται, ὁποῖά φησι περὶ τῶν ὑπὸ ὀργῆς, ἢ φόβου, ἢ λύπης κατεχομένων, ἢ τιτρωσκομένων, καὶ ἀποκτεινομένων, ἢ ἄλλο τι τοιοῦτο παθόντων. ἐξ αἰτίου μέν, ἀχνύμενος, μένεος δέ οἱ μέγα φρένες ἀμφὶ μέλαιναι πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. ἐξ ἐνεργείας δέ, αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι. πλοχμοί θ' οἳ χρυσῷ τε, καὶ ἀργύρῳ ἐσφήκωντο.

Ο δὲ τρόπος ἐστὶ ποιητικὸς πράξεως, ἢ παθήματος, ἢ σχέσεώς τινος, καθ' ἣν τὸ μέν, ὧδέ τι ἐνεργεῖ, τὸ δέ, ὧδέ πως ἔχει. καὶ πάσῃ ἀκολουθεῖ τῇ τοιαύτῃ διηγήσει. παράδειγμα δὲ αὐτοῦ τὸ τοιόνδ' ἂν εἴη. τὸν δ' Ὀδυσσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ, ἐκλίνθη δ' ἑτέρωσε. δέπας δέ οἱ ἔκπεσε χειρὸς βλημένου. αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν αἵματος ἀνδρομέοιο, καὶ τὰ ἑξῆς.

Ε στι δὲ διήγησις παρ' αὐτῷ, ὡς μὲν ἐπὶ τὸ πλεῖστον πλατεῖαν φράσιν, καὶ ἐξεργασίαν ἁρμόζουσαν τοῖς ὑποκειμένοις ἔχουσα, ἐνίοτε δὲ σύντονος, ὡς ἡ τοιαύτη. κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται γυμνοῦ. ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ. τοῦτο δὲ τὸ εἶδος πολλάκις ἐστὶ χρήσιμον. τὸ γὰρ τάχος τῶν λόγων συντονώτερον καθίστησι, καὶ τὸν λέγοντα, καὶ τὸν ἀκροώμενον. καὶ ῥαδίως τυγχάνει τοῦ προκειμένου. διηγεῖται δὲ ποτὲ μὲν ψιλῶς, ποτὲ δὲ μετὰ εἰκόνος, ἢ ὁμοιώσεως, ἢ παραβολῆς. εἰκόνος μέν, ὡς ὅταν εἴπῃ, ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια, Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ. ὁμοιώσεως δέ, οἷον, αὐτὸς δὲ κτῖλος ὣς ἐπεπωλεῖτο στίχας ἀνδρῶν. παραβολῆς δέ, ὅταν παραπλησίων πραγμάτων παράθεσιν ποιήσηται, ἔχουσαν ἀνταπόδοσιν τῶν

ἀπὸ τοῦ προκειμένου διηγήματος. καὶ ἔστι παρ' αὐτῷ ποικίλα τὰ εἴδη τῶν παραβολῶν. συνεχῶς γὰρ καὶ πολυτρόπως παρατίθησι ταῖς τῶν ἀνθρώπων πράξεσι, καὶ σχέσεσι ζώων ἄλλων ἐνεργείας, καὶ φύσεις,

Καὶ ἔστι μὲν ὅταν ἀπὸ τῶν ἐλαχίστων ποιῆται τὴν ὁμοίωσιν, οὐ πρὸς τὸ μέγεθος τοῦ σώματος, ἀλλὰ πρὸς τὴν φύσιν ἑκάστου ἀφορῶν. ὅθεν τὴν μὲν ἰταμότητα ἀπείκασε μυίᾳ, καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἔθηκε, καὶ τὴν συνέχειαν τῷ αὐτῷ ζώῳ· ἠΰτε μυιάων ἁδινάων ἔθνεα πολλά. τὸν δὲ ἀθροισμόν, καὶ τὴν πολυπλήθειαν μετ' εὐταξίας, μελίσσαις. ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἁδινάων. οὕτω δὲ καὶ τὴν ὀργήν, καὶ τὴν δίωξιν σφηκῶν, σφήκεσσιν ἐοικότες ἐνοδίοισι. καὶ ἔτι προσθεὶς οὓς παῖδες ἐριδμαίνουσιν ἔθοντες, ἵνα μᾶλλον τὸ ἐκ φύσεως αὐτῶν θυμοειδὲς τῷ ἀπὸ τῶν παίδων ἐρεθισμῷ ἐπιτείνῃ. ἐπὶ δὲ συνεχοῦς φωνῆς φησίν· ἐσθλοὶ τεττίγεσσιν ἐοικότες· λαλίστατον γὰρ τὸ ζῷον, καὶ ἄπαυστον ἐν τούτῳ.

Τῶν δὲ ἀσυντάκτως φερομένων φωναῖς παμμιγέσιν οὕτως εἴκασεν, ἠΰτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό· τὰ δὲ εἰς τάξιν καθιστάμενα πλήθη τοῖς καθημένοις ὀρνέοις ὁμοιοῖ κλαγγηδὸν προκαθιζόντων.

Τὴν δὲ ὀξύτητα τῆς ὄψεως, καὶ τῆς πράξεως, ποτὲ μὲν ἱέρακι παραβάλλει ὠκέϊ φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεινῶν· ποτὲ δὲ αἰετῷ, ὅντε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ· παρίστησι γὰρ τὴν ὀξυδέρκειαν ἐν τῷ πόρρωθεν ἰδεῖν· τὸ δὲ τάχος, ἐν τῷ ποδωκέστατον ζῷον ἑλεῖν. τὸν δὲ ἐκπλαγέντα πρὸς ὄψιν πολεμίου, δράκοντος ὁράματι προσείκασεν, οὐκ ὀκνήσας οὐδὲ ἀπὸ τῶν ἑρπετῶν παραδείγματα λαβεῖν. ὡς δ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἀπέστη.

Ἀπὸ δὲ τῶν ἄλλων ζώων δειλίας μὲν ἀπὸ τοῦ λαγωοῦ λαμβάνει, καὶ ἀπὸ τῆς ἐλάφου ὁμοίως· τίπτ' οὕτως ἔστητε τεθηπότες ἠΰτε νεβροί; κυνῶν δὲ ὅτε μὲν ἀλκήν· ὡς δ' ὅτε καρχαρόδοντε δύω κύνε, οἵτ' ἐπὶ θήρης· ὅτε δὲ φιλοτεκνίαν· ὡς γὰρ κύων ἀπαλῇσι περὶ σκυλάκεσσι βεβῶσα. ὅτε δὲ προθυμίαν πρὸς τὸ φυλάττειν· ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσωνται ἐν αὐλῇ.

Ἁρπαγὴν γὰρ ἅμα μυθικῶς, καὶ ἰταμῶς πρασσομένην, λύκοις εἴκασεν· ὡς γὰρ λύκοι ἄρνεσιν ἐπέχραον, ἢ ἐρίφοισι.

Τὸ δὲ ἄλκιμον, καὶ ἄτρεπτον διά τε συῶν ἀγρίων, καὶ παρδάλεων, καὶ λεόντων ἔδειξε, μερίζων ἑκάστῳ τὸ πρὸς τὴν φύσιν οἰκεῖον.

Τῶν μὲν συῶν τὴν ὁρμήν, ἣν ἔχει πρὸς μάχην ἀνυπόστατον ποιῶν· Ἰδομενεὺς δ' ἄρ' ἐνὶ προμάχοις συῒ εἴκελος ἀλκήν· τῶν δὲ παρδάλεων τὸ ἄπαυστον τῆς τόλμης· ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει· λεόντων δὲ τὸ μέλλον μὲν, ἐς τέλος δὲ γενναῖον· οὐρῇ δὲ πλευράς τε, καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται.

Πάλιν δὲ παραβάλλει δρόμον ἀνδρὸς γενναίου, ἵππῳ τροφῆς κεκορεσμένῳ· ὡς δ' ὅτε τις στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ· καὶ τοὐναντίον βραδεῖαν πορείαν ἀήττητον ἐν τῷ καρτερεῖν οὕτως ἔδειξεν· ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν, ἐβιήσατο παῖδας. σχῆμα γὰρ βασιλικὸν, καὶ ὑπερέχον ἐτύπωσε διὰ τούτων· ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων. οὐ κατέλιπε γὰρ οὐδὲ τῶν θαλασσίων ζώων ὁμοιότητας. πολύποδος μὲν τὸ παράμονον, καὶ δυσαπόσπαστον τῶν πετρῶν· ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο. δελφῖνος δὲ τὸ ἡγεμονικὸν, καὶ κρατιστεῦον τῶν ἄλλων· ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι.

Πολλάκις δὲ τὰ ὑπὲρ ἀνθρώπων πρασσόμενα ἄλλαις

ὁμοίως πράξεσι παραβάλλει, ὥσπερ ἐν τούτῳ. οἱ δ' ὡς τὰ μητρὸς δ' ἐναντίοι ἀγήλοισι, τὴν ἔνστασιν, καὶ καρτερίαν δεικνύων τῶν ἀνδρῶν. τῷ δ' ἀγεννῶς δακρύοντι, ὀνειδίξει μετὰ ἐναργοῦς ὁμοιώσεως. τίπτε δεδάκρυσαι πατρόκλεις ἠΰτε κούρη νηπίη.

Ἐτόλμησε δὲ καὶ τοῖς στοιχείοις παραβάλλειν πράξεις ἀνθρωπίνας, ὡς ἐν τούτῳ. ὣς ἔφατ'. ἀργεῖοι δὲ μέγ' ἴαχον, ὡς ὅτε κῦμα ἀκτῇ ἐφ' ὑψηλῇ ὅτε κινήσει νότος ἐλθὼν προβλῆτι σκοπέλῳ, τὸν δ' οὔποτε κύματα λείπει παντοίων ἀνέμων, ὅταν ἔνθ', ἢ ἔνθα γένωνται. ἐν οἷς δῆλός ἐστι καὶ ὑπερβολῇ, καὶ αὐξήσει κεχρημένος. οὐ γὰρ ἤρκεσε κύματος ἠχῷ τὴν κραυγὴν ἀπεικάσαι, ἀλλὰ τῶν προφερομένων ἀκτῇ ἐφ' ὑψηλῇ, ὅπου μετεωριζόμενον τὸ κῦμα μείζονα ἦχον ἀποτελεῖ, καὶ οὐχ ἁπλῶς κῦμα, ἀλλὰ τὸ κινηθὲν ἀπὸ νότου, τοῦ μάλιστα τὰ ὑγρὰ κινοῦντος, καὶ ἐπὶ σκοπέλῳ προβλῆτι τῷ ἀνατεταμένῳ εἰς τὸ πέλαγος, καὶ περικλυζομένῳ ὑπ' αὐτοῦ. ὃ καὶ ἀδιάλειπτον ἔχει τὸν κλύδωνα, ὁπόθεν ἂν προσπίπτωσιν οἱ πνέοντες ἄνεμοι. τοιαῦτα μὲν ἐστι τὰ τῆς ἐν τῷ διηγεῖσθαι ἐξεργασίας παρ' αὐτῷ. ἅπερ ἔνεστι καὶ ἐπὶ τῶν πολλῶν κατανοεῖν, ἐκ τῶν ὀλίγων παραδειγμάτων.

Σκεψώμεθα δὲ καὶ τὰ λοιπὰ εἴδη τῶν λόγων, εἰ ἔστι παρὰ τῷ ὁμήρῳ πρώτῳ, καὶ τὰς ἐννοίας αὐτῶν λαβόντι, καὶ ἐναργῶς κατασκευάσαντι, ὁμοίως ὀλίγα παραδείγματα παρατεθέντα, καὶ τὰ ἄλλα νοεῖν παρασκευάσει.

Ὁ δὲ θεωρητικὸς λόγος ἐστὶν, ὁ περιέχων τὰ καλούμενα θεωρήματα, ἅπερ ἐστὶ γνῶσις τῆς ἀληθείας, γινομένη μετὰ τέχνης. ἀφ' ὧν ἐστι τὴν φύσιν τῶν ὄντων θείων τε, καὶ ἀνθρωπίνων πραγμάτων κατανοεῖν. καὶ τὰς περὶ τὸ ἦθος ἀρετάς, καὶ κακίας διαιρεῖν. καὶ εἴ τινι τέχνῃ, λογικῇ

μετέρχεσθαι τὴν ἀλήθειαν προσήκει μανθάνειν· ταῦτα δὲ μετεχειρίσαντο οἱ ἐν φιλοσοφίᾳ διαπρέψαντες, ἧς ἔτι μέρη τὸ φυσικόν, καὶ ἠθικόν, καὶ διαλεκτικόν· ἐν δὴ πᾶσι τούτοις τὰς ἀρχὰς, καὶ τὰ σπέρματα ἐνδιδόντα ὅμηρον εἰ καταμάθοιμεν, πῶς οὐκ ἂν εἴη πρὸ πάντων θαυμάζεσθαι ἄξιος. εἰ δὲ δι' αἰνιγμάτων, καὶ μυθικῶν λόγων τινῶν ἐμφαίνεται τὰ νοήματα, οὐ χρὴ παράδοξον ἡγεῖσθαι. τοῦτο γὰρ αἴτιον ποιητικῆς, καὶ τῶν ἀρχαίων ἦθος. ὅπως οἱ μὲν φιλομαθοῦντες μετά τινος εὐμουσίας ψυχαγωγούμενοι, ῥᾷον ζητῶσί τε, καὶ εὑρίσκωσι τὴν ἀλήθειαν. οἱ δὲ ἀμαθεῖς, μὴ καταφρονῶσι τούτων, ὧν οὐ δύνανται συνιέναι. καὶ γάρ ἐστί πως, τὸ μὲν δι' ὑπονοίας σημαινόμενον ἀγαστόν, τὸ δὲ φανερῶς λεγόμενον, εὐτελές.

Ἀρξώμεθα τοίνυν ἀπὸ τῆς τοῦ παντὸς ἀρχῆς, καὶ γενέσεως, ἣν θαλῆς ὁ μιλήσιος εἰς τὴν τοῦ ὕδατος οὐσίαν ἀναφέρει. καὶ θεασώμεθα, εἰ πρῶτος ὅμηρος τοῦθ' ὑπέλαβεν εἰπὼν ὠκεανὸς θ' ὅσπερ γένεσις πάντεσσι τέτυκται. μετ' ἐκεῖνον δὲ ξενοφάνης ὁ κολοφώνιος ὑφιστάμενος τὰς πρώτας ἀρχὰς εἶναι τὸ ὕδωρ, καὶ τὴν γῆν, ἔοικε σπάσαι τὴν ἀφορμὴν ταύτην, ἐκ τῶν ὁμηρικῶν τούτων. ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ, καὶ γαῖα γένοισθε. σημαίνει γὰρ τὴν ἀνάλυσιν εἰς τὰ γεννητικὰ στοιχεῖα τοῦ παντός. ἡ δὲ μάλιστα ἀληθὴς δόξα, τέσσαρα στοιχεῖα συνίστησι. πῦρ, ἀέρα, ὕδωρ, γῆν· ταῦτα δὲ καὶ ὅμηρος εἰδὼς φαίνεται, μνημονεύων ἐν πολλοῖς αὐτῶν ἑκάστου. καὶ τὴν τάξιν δὲ αὐτῶν ὅπως ἔχει κατέμαθεν.

Ὅτι μὲν οὖν ἡ γῆ κατωτάτω πάντων ἐστί, θεασώμεθα. σφαιροειδοῦς γὰρ ὄντος τοῦ κόσμου, ὁ μὲν περιέχων τὰ πάντα οὐρανός, τὸν ἄνω τόπον ἐπέχειν εἰκότως λέγοιτ' ἄν. ἡ δὲ γῆ ἐν μέσῳ οὖσα πανταχόθεν, κατωτέρω τοῦ περιέχον-

Θαλῆς

Ξενοφ

τος ἐστί. τοῦτο δὴ ὁ ποιητὴς ἐν τούτοις μάλιστα δηλοῖ, ἐν
οἷς φησὶν ὁ Ζεὺς ἀπὸ τοῦ Ὀλύμπου σειρὴν ἀναψάμενος, τὴν
γῆν, καὶ τὴν θάλασσαν ἀνασπάσειν, ὡς πάντα μετέωρα γενέ-
σθαι. ἀλλ' ὅτε κεν καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι, αὐτῇ
κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ. σειρὴν μέν κεν ἔπει-
τα περὶ ῥίον Οὐλύμποιο δησαίμην. τὰ δέ κ' αὖθι με-
τήορα πάντα γένοιτο.

Υπὸ δὲ γῆς ὄντος τοῦ ἀέρος, τὸν αἰθέρα ὑψηλότερον εἶναί
φησιν οὕτως. εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν
Ἴδῃ ἀκροτάτη πεφυυῖα, δι' ἠέρος αἰθέρ' ἵκανε. τοῦ δὲ αἰ-
θέρος ἀνωτέρω τὸν οὐρανόν. ὣς οἱ μὲν μάρναντο. σιδήρει-
ος δ' ὀρυμαγδὸς χάλκεον οὐρανὸν ἷκεν δι' αἰθέρος ἀτρυ-
γέτοιο. καὶ ἔστιν ἐν τούτῳ. ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν,
Οὔλυμπόν τε. τὸ γὰρ καθαρώτερον τοῦ ἀέρος ἀνωτάτω ὄν, καὶ
τὸ μάλιστ' ἀπέχον τῆς γῆς, καὶ τῶν ἐξ αὐτῆς ἀναθυμιάσεων,
ὡς ὅλον λαμπρὸν φασὶν Ὄλυμπον προσαγορεῦσθαι. ἐν
οἷς δέ φησιν ὁ ποιητὴς συνοικεῖν τῷ Διῒ τὴν Ἥραν οὖσαν
ἀδελφὴν, δοκεῖ ταῦτα ἀλληγορεῖσθαι. ὅτι Ἥρα μὲν νοεῖ-
ται ὁ ἀὴρ, ἥπερ ἐστὶν ὑγρὰ οὐσία, διὸ καὶ λέγει. ἠέρα δ'
Ἥρη πίτνα πρόσθε βαθεῖαν. Ζεὺς δὲ ὁ αἰθὴρ. τουτέστιν ἡ πυ-
ρώδης, καὶ ἔνθερμος οὐσία. Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν
αἰθέρι, καὶ νεφέλῃσιν. ἀδελφοὶ μὲν οὖν ἔδοξαν διὰ τὴν
συνάφειαν, καὶ τὴν κατά τι ὁμοιότητα, ὅτι ἄμφω κοῦφοι,
καὶ κινούμενοι. σύνοικοι δὲ, καὶ ὁμόλεκτροι, ὅτι ἐξ αὐτῶν
συνιόντων, γεννᾶται τὰ πάντα. διὸ καὶ ἐν τῇ Ἴδῃ συνέρ-
χονται. καὶ ἡ γῆ αὐτοῖς φύει τὰς πόας, καὶ τὰ ἄνθη.

Τοῦ δὲ αὐτοῦ λόγου ἔχεται κἀκεῖνα. ἐν οἷς φησὶν ὁ Ζεὺς κρε-
μᾶσθαι τὴν Ἥραν, καὶ ἐξάπτεσθαι τῶν ποδῶν αὐτῆς ἄκ-
μονας δύο, τουτέστι τὴν γῆν, καὶ τὴν θάλασσαν. μάλιστα
δὲ ἐν ἐκείνοις, ἐξεργάζεται τὸν περὶ στοιχείων λόγον, δι' ὧν

ὁ Ποσειδῶν λέγει αὐτῷ· τρεῖς γάρ τε Κρόνου εἰμὲν ἀδελφοί, οὓς τέκε Ῥέα, Ζεὺς, καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων· καὶ τριχθὰ δὲ πάντα δέδασται· ἕκαστος δ' ἔμμορε τιμῆς. καὶ ὅτι ἐν τῇ τοῦ παντὸς νομῇ Ζεὺς μὲν ἔλαχε τὴν τοῦ πυρὸς οὐσίαν. Ποσειδῶν δὲ τὴν τοῦ ὕδατος, Ἅδης δὲ τὴν τοῦ ἀέρος· τοῦτον γὰρ λέγει ζόφον ἠερόεντα, ἐπειδὴ φῶς οἰκεῖον οὐκ ἔχει, ἀλλ' ὑπὸ ἡλίου, καὶ σελήνης, καὶ τῶν ἄλλων ἄστρων καταλάμπεται.

Τετάρτη δὲ, κατελείφθη καὶ κοινὴ πάντων ἡ γῆ. ἡ μὲν γὰρ τῶν τριῶν στοιχείων οὐσία κινεῖται ἀεί. μένει δὲ ἀκίνητος ἡ γῆ μένει, ἣ καὶ τὸν Ὄλυμπον προσέθηκεν. εἰ μὲν γὰρ ὄρος ἐστὶν, ὡς μέρος τῆς γῆς. εἰ δὲ τοῦ οὐρανοῦ τὸ λαμπρότατον, καὶ καθαρώτατον, ὡς καὶ ταύτης οὔσης ἐν τοῖς στοιχείοις πέμπτης οὐσίας, ὅπερ ᾠήθησάν τινες τῶν ἐνδόξων φιλοσόφων· ὥστε κατὰ τὸ εἰκὸς κοινὰ ὑπέθετο εἶναι, τήν τε γῆν κατωτάτω διὰ βαρύτητα, καὶ τὸν Ὄλυμπον ἀνωτάτω ὄντα διὰ κουφότητα, ὅτι εἰς ταῦτα αἱ μεταξὺ φύσεις, τῇ μὲν καταφέρονται, τῇ δὲ ἀναφέρονται. τῆς δὲ στοιχείων φύσεως ἐξ ἐναντίων συνεστώσης, ξηρότητός τε, καὶ ὑγρότητος, καὶ θερμότητος, καὶ ψυχρότητος, ὑπὸ δὲ τῆς πρὸς ἄλληλα ἀναλογίας, καὶ κράσεως ἐναπεργαζομένης τὸ πᾶν, καὶ μεταβολὰς μὲν μερικὰς ὑπομενούσης, τοῦ δὲ παντὸς λύσιν μὴ ἐπιδεχομένης, Ἐμπεδοκλῆς ἔφη τὰ ὅλα συνεστάναι οὕτως, ἄλλοτε μὲν φιλότητι συνερχόμενα εἰς ἓν ἅπαντα, ἄλλοτε δ' αὖτις ἕκαστα, φορούμενα νείκεος ἔχθει, τὴν μὲν συμφωνίαν καὶ ἕνωσιν τῶν στοιχείων, φιλίαν προσαγορεύσας· νεῖκος δὲ τὴν ἐναντίωσιν.

Πρὸ δὲ τούτου Ὅμηρος τὴν φιλίαν, καὶ τὸ νεῖκος αἰνίττεται, ἐν οἷς φησιν Ἥρα παρ' αὐτῷ· εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης, Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα

τηθὺν· τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω.

Τοιοῦτον δέ γε καὶ τὴν ἀφροδίτην, καὶ τὸν ἄρην ὁ μῦθος αἰνίττεται, τῆς μὲν ταυτὸ δυναμένης, ὃ παρὰ τῷ ἐμπεδοκλεῖ ἡ φιλία. τοῦ δὲ ὃ παρ' ἐκείνῳ τὸ νεῖκος· ὅθεν ποτὲ μὲν σύνεισιν ἀλλήλοις, ποτὲ δὲ διαλύονται. ἐλέγχει δὲ αὐτοὺς ἥλιος, καὶ δεσμοῖ μὲν αὐτοὺς ἥφαιστος· λύει δὲ ποσειδῶν. ἐν οἷς δῆλόν ἐστιν, ὅτι ἡ ἔνθερμος, καὶ ἡ ξηρὰ οὐσία, καὶ ἡ ταύτῃ ἐναντία, ἡ ψυχρά τε, καὶ ὑγρά, ποτὲ μὲν συνάγουσι τὰ πάντα, ποτὲ δὲ λύουσιν.

Ἀκολουθεῖ δὲ τούτοις καὶ τὸ παρὰ τοῖς ἄλλοις ποιηταῖς εἰρημένον, ὅτι ἐκ τῆς ἄρεος, καὶ ἀφροδίτης συνουσίας ἁρμονία συνέστηκεν ἐξ ἐναντίων βαρέων τε, καὶ ὀξέων, κιρναμένων ἀλλήλοις ἀναλόγως. ὅπως δὲ ἀντίκεινται ἀλλήλοις τὰ τῆς ἐναντίας φύσεως τετυχηκότα, αἰνίττεσθαι ἔοικεν ὁ ποιητὴς καὶ ἐν τῇ παρατάξει τῶν θεῶν, ἐν ᾗ πεποίηκε τοὺς μὲν τοῖς ἕλλησι, τοὺς δὲ τοῖς τρωσὶ βοηθοῦντας, ἀλληγορικῶς ἐμφαίνων τὰς δυνάμεις ἑκάστου. καὶ τὸν μὲν φοῖβον τῷ ποσειδῶνι ἀντιτάσσει, τὸ θερμόν, καὶ ξηρόν, τῷ ὑγρῷ, καὶ ψυχρῷ. τὴν δὲ ἀθηνᾶν τῷ ἄρει, τὸ λογιστικὸν τῷ ἀλογίστῳ, τουτέστι τὸ ἀγαθὸν τῷ κακῷ. τὴν δὲ ἥραν τῇ ἀρτέμιδι. τὸν ἀέρα τῇ σελήνῃ. καὶ ὅτι ὁ μὲν σταθερός, ἡ δὲ πολυκίνητος· τὸν δὲ ἑρμῆν τῇ λητοῖ, ὅτι ὁ μὲν λόγος, ἀεὶ ζητεῖ, καὶ μέμνηται. ἡ δὲ λήθη τούτῳ ἐστὶν ἐναντίον. τὸν δὲ ἥφαιστον τῷ ποταμῷ, κατὰ τὸν αὐτὸν λόγον καθ' ὃν τὸν ἥλιον τῇ θαλάσσῃ, θεατὴν δὲ τῆς μάχης τὸν πρῶτον θεόν, καὶ ἐπὶ τούτῳ γεγηθότα.

Ἐκ δὲ τῶν προειρημένων ἅμα, καὶ τοῦτο ὑποδεικνὺς ὅμηρος φαίνεται. καὶ ὅτι εἷς ἐστιν ὁ κόσμος, καὶ πεπερασμένος. εἰ γὰρ ἄπειρος ἦν, οὐκ ἂν εἰς ἀριθμὸν πέρας ἔχοντα διῃρεῖτο. καὶ ἐν τῷ ὀνόματι σημαίνει τὸ σιωπᾶν. ὡς

καὶ ἐν ἄλλοις πολλοῖς χρῆται, ἀντὶ τοῦ ἑνικοῦ τῷ πληθυν-
τικῷ. σαφέστερον δὲ τὸ αὐτὸ δηλοῖ ἐν τῷ εἰπεῖν πείρατα
γαίης. καὶ πάλιν ἐν οἷς φησιν, οὐδ' εἴ κε τὰ νείατα πείραθ'
ἵκηται γαίης. καὶ πάλιν ἐν οἷς πόντοιο, καὶ ἐν τῷ, ἀκροτά-
τῃ κορυφῇ πολυδειράδος οὐλύμποιο. ὅπου γὰρ ἐστὶν ἀκρό-
της, ἐκεῖ καὶ πέρας. ὅπως δὲ καὶ περὶ ἡλίου γινώσκει, οὐκ
ἄδηλον, ὅτι κυκλοφορικὴν ἔχων δύναμιν, ποτὲ μὲν
ὑπὲρ γαίης φαίνεται, αὖθις δὲ ὑπὸ γῆν ἄπεισι. καὶ τοῦτο
δῆλον ποιεῖ λέγων, ὦ φίλοι, οὐ γάρ τοι ἴδμεν ὅπῃ ζόφος,
οὐδ' ὅπῃ ἠώς, οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖ-
αν, οὐδ' ὅπῃ ἀννεῖται. καὶ ὅτι ἀεὶ ὑπὲρ ἡμᾶς ἰών, καὶ διὰ
τοῦτο ὑπερίων προσαγορευόμενος ὑπὸ αὐτοῦ τοῦ ποιητοῦ, τήν
τε ἀνατολὴν ἐκ τοῦ περιέχοντος τὴν γῆν ὕδατος, τουτέστι
τοῦ ὠκεανοῦ ποιεῖται, καὶ εἰς αὐτὸν καταδύεται, δηλοῖ σα-
φῶς τὴν μὲν ἀνατολὴν κἀν τούτοις. ἠέλιος δ' ἀνόρουσε λι-
πὼν περικαλλέα λίμνην, οὐρανὸν εἰς πολύχαλκον, ἵν'
ἀθανάτοισι φαείνῃ. τὴν δὲ δύσιν, ἐν δ' ἔπεσ' ὠκεανῷ λαμ-
πρὸν φάος ἠελίοιο, ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδω-
ρον ἄρουραν.

Δ είκνυσι δὲ αὐτοῦ καὶ τὸ εἶδος. λαμπρὸς δ' ἦν ἠέλιος ὥς,
καὶ μέγεθος, εὖ τε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαῖαν.
καὶ ἔτι μᾶλλον ἐν τούτῳ. ἦμος δ' ἠέλιος μέσον οὐρανὸν
ἀμφιβεβήκει. καὶ τὴν δύναμιν. ἠέλιος, ὃς πάντ' ἐφο-
ρᾷ, καὶ πάντ' ἐπακούει. καὶ τὸ ἔμψυχον, καὶ τὸ ἐπὶ τῇ κι-
νήσει αὐτοπροαίρετον, ἐν οἷς ἀπειλεῖ, δύσομαι εἰς ἀΐδαο,
καὶ ἐν νεκύεσσι φαείνω. καὶ ἐπὶ τούτῳ ὁ ζεὺς αὐτὸν παρα-
καλεῖ. ἠέλι', ἤτοι μὲν σὺ μετ' ἀθανάτοισι φάεινε, καὶ
θνητοῖσι βροτοῖσιν ἐπὶ ζείδωρον ἄρουραν. ἐξ ὧν δηλοῖ
ὅτι οὐ πῦρ ἐστὶν ὁ ἥλιος, ἀλλ' ἑτέρα τις κρείσσων οὐσία. ὅ- ἥλιος
περ καὶ ἀριστοτέλης ὑπέλαβεν. εἴγε τὸ μὲν πῦρ ἐστὶν ἄνω

φερές, καὶ ἄψυχον, καὶ ἀδιάλειπτον, καὶ φθαρτόν. ὁ δὲ ἥλιος κυκλοφορητικὸς, καὶ ἔμψυχος, καὶ ἀΐδιος, καὶ ἄφθαρτος, καὶ τῶν ἄλλων δὲ τῶν κατὰ τὸν οὐρανὸν ἄστρων. ὅτι οὐκ ἀπείρως ὅμηρος εἶχε, φανερόν ἐστιν ἐξ ὧν πεποίηκε. πληϊάδας θ' ὑάδας τε, τό, τε σθένος ὠρίωνος. καὶ τὴν ἄρκτον τὴν ἀεὶ στρεφομένην περὶ τὸν ἀφανῆ πόλον τὸν βόρειον, καὶ διὰ τὸ μετέωρον μὴ ἁπτομένην τοῦ ὁρίζοντος. ὅτι ἐν ἴσῳ χρόνῳ ὅ, τε μικρότατος κύκλος ἐν ᾧ ἐστιν ἄρκτος, καὶ ὁ μέγιστος, ἐν ᾧ ὠρίων στρέφεται, ἐν τῇ τοῦ κόσμου περιφορᾷ, καὶ τὸν βραδέως δυόμενον βοώτην. ὅτι πολυχρόνιον ποιεῖται τὴν κατάδυσιν, οὕτω πεπτωκὼς θέσει, ὥς τε ὀρθὸν καταφέρεσθαι, καὶ συγκαταδύεσθαι τέσσαρσι ζωδίοις, τῶν πάντων εἰς ὅλην νύκτα μεριζομένων ἓξ ζωδίων. εἰ δὲ μὴ πάντα τὰ περὶ τῶν ἄστρων θεωρούμενα διεξῆλθεν, ὡς ἄρατος, ἢ ἄλλος τις, οὐ χρὴ θαυμάζειν. οὐ γὰρ τοῦτο προέκειτο αὐτῷ. οὐκ ἀγνοεῖ δὲ τὰς αἰτίας τῶν περὶ τὰ στοιχεῖα συμπτωμάτων, οἷον σεισμῶν, καὶ ἐκλείψεων.

Ἐπεὶ γὰρ ἡ γῆ σύμπασα μετέχει ἐν ἑαυτῇ ἀέρος τέ, καὶ πυρός, καὶ ὕδατος, ὑφ' ὧν καὶ περιέχεται κατὰ τὸ εἰκὸς ἐν βάθει αὐτῆς, συνίστανται ἀτμοὶ πνευματώδεις. τούτους φασὶν ἔξω μὲν φερομένους κινεῖν τὸν ἀέρα. εἰρχθέντας δὲ ἀνοιδαίνειν, καὶ εἰς τὸ ἔξω βιαζομένους ἀνειλεῖσθαι τὸ πνεῦμα ἐντὸς τῆς γῆς τὴν θάλασσαν, αἰτίαν εἶναι νομίζουσιν ἐμφράσσουσαν ἐνίοτε τὰς εἰς τὸ ἔξω διόδους. ἔστι δὲ ὅτε ὑποχωροῦσαν αὐτὴν, κατερείπειν τῆς γῆς τινὰ μέρη. καὶ τοῦτο οὖν ὅμηρος εἰδώς, τὴν αἰτίαν τῶν σεισμῶν τῷ ποσειδῶνι ἀνατίθησι, γαιήοχόν τε αὐτόν, καὶ ἐνοσίχθονα K προσαγορεύων.

Ἐπεὶ δὲ τῶν πνευμάτων ἐντὸς τῆς γῆς καθειργνυμένων,

νηνεμίαι συμβαίνουσι, καὶ ζόφοι, καὶ ἀμαυρώσεις τοῦ ἡλίου, σκεψώμεθα εἰ καὶ τοῦτο συνεῖδε. πεποίηκε μὲν γὰρ τὸν ποσειδῶνα σείοντα τὴν γῆν, μετὰ τὴν ἀχιλλέως ἔξοδον ἐπὶ τὴν μάχην. προειρήκει δὲ ἐπὶ τῆς προτεραίας, ὁποία ἦν ἡ τοῦ ἀέρος κατάστασις. ἐπὶ μὲν τοῦ σαρπηδόνος· ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ. καὶ πάλιν ἐπὶ τοῦ πατρόκλου· οὐδέ κεν ἠέλιον σόον ἔμμεναι, οὔτε σελήνην· ἠέρι γὰρ κατέχοντο. καὶ μετ' ὀλίγον ὁ αἴας εὔχεται, ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας ἀχαιῶν· ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι. μετὰ δὲ τὸν σεισμὸν τοῦ πνεύματος ἔξω καταστάντος, σφοδροὶ γίνονται ἄνεμοι, ὅθεν ἥρα φησίν· αὐτὰρ ἐγὼ ζεφύροιο, καὶ ἀργέσταο νότοιο εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὀρέουσα θύελλαν. εἶτα τῇ ὑστεραίᾳ τοὺς ἀνέμους ἡ ἶρις ἐπὶ τὴν πυρὰν τοῦ πατρόκλου παρακαλεῖ· οἱ δ' ὀρέοντο πνοιῇ ὑπὸ λιγυρῇ νέφεα κλονέοντες ὄπισθεν. οὕτως δὲ καὶ τὴν ἔκλειψιν τοῦ ἡλίου φυσικῶς γινομένην, ὅταν ἡ σελήνη ἐν τῇ πρὸς αὐτὸν συνόδῳ κατὰ κάθετον ἐξελθοῦσα ἐπισκοτήσῃ, εἰδὼς φαίνεται. προειπὼν γὰρ ὅτι ἐλεύσεται ὁ ὀδυσσεύς, τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένου· τουτέστιν ὅτε ἅμα παύεται, καὶ ἄρχεται. ὁ δὲ μήν, συνιούσης τῷ ἡλίῳ τῆς σελήνης, ἅμα τῷ ἐλθεῖν αὐτὸν φησὶν ὁ μάντις πρὸς τοὺς μνηστῆρας· ἆ δειλοί τί κακὸν τόδε πάσχετε, νυκτὶ μὲν ὑμέων εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γοῦνα, εἰδώλων δὲ πλέων πρόθυρον, πλείη δὲ καὶ αὐλὴ ἐρχομένων· ἔρεβος δὲ ὑπὸ ζόφον. ἠέλιος δὲ οὐρανοῦ ἐξαπόλωλε· κακὴ δ' ἐπιδέδρομεν ἀχλύς.

K καὶ ἀνέμων δὲ φύσιν ἀκριβῶς κατενόησεν, ὧν τὴν μὲν γένεσιν ἐκ τῶν ὑγρῶν εἶναι· τοῦ μὲν ὕδατος μεταβολή, εἰς ἀέρα γίνεται. ὁ δ' ἄνεμος, ἐστὶν ἀὴρ ῥέων. τοῦτο δέ, ἐν

τε ἄλλοις πολλοῖς ἐμφαίνει, καὶ ἐν οἷς φησιν, ἀνέμων μένος ὑγρὸν ἀέντων. τὴν δὲ τάξιν αὐτῶν, ὡς ἔχει διέθηκε. σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, ζέφυρός τε δυσαής, καὶ βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων· τούτων γὰρ ὁ μὲν, ἀπὸ ἀνατολῆς ὁρμᾶται, ὁ δὲ, ἀπὸ μεσημβρίας, ὁ δέ, ἀπὸ δύσεως· ὁ δὲ, ἀπὸ ἄρκτου. καὶ ὁ μὲν ἀπηλιώτης ὑγρὸς ὤν, μεταβάλλει εἰς νότον θερμὸν ὄντα· ὁ δὲ νότος λεπτυνόμενος, εἰς ζέφυρον· ὁ δὲ ζέφυρος ἔτι μᾶλλον λεπτυνόμενος, εἰς βορέαν ἀποκαθαίρεται. διὸ ἐπὶ κραιπνὸν βορέην, τὰ δὲ κύματα ἄξειν· καὶ τὴν ἀντίθεσιν δὲ αὐτῶν φυσικῶς ἐξηγήσατο. ἄλλοτε μὲν νότος βορέῃ προέηκε φέρεσθαι, ἄλλοτε δ' Εὖρος ζεφύρῳ ἔξασκε διώκειν.

Ἠπίστατο δὲ κἀκεῖνος ὅτι βόρειος πόλος, ὑπὲρ γῆν ἐστι μετέωρος, ὡς καθ' ἡμᾶς τοὺς ἐν τῷ κλίματι τούτῳ κατοικοῦντας. ὁ δὲ νότος ἐκ τοῦ ἐναντίου βαθύς. ὅθεν ἐπὶ μὲν τοῦ βορέου φησί. καὶ βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων· τὴν ἄνωθεν ἐμπίπτουσαν φορὰν τοῦ ἀνέμου ἐμφαίνει· τὸ δὲ ὤθει, τὴν ἀπὸ τοῦ κοιλοτέρου πρὸς τὸ ἀναντὲς βίαν· ὅτι δὲ καὶ ἡ τῶν ὑετῶν γένεσίς ἐστιν ἐκ τῆς τῶν ὑγρῶν ἀναθυμιάσεως, ἐπεδήλωσεν εἰπών· κατὰ δ' ὑψόθεν ἧκεν ἐέρσας αἵματι μυδαλέας ἐξ αἰθέρος, καὶ αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε· προειρήκει γὰρ τὸ μὲν αἷμα κελαινὸν ἐΰρροον. ἀμφὶ Σκάμανδρον, ἐσκέδασ' ὀξὺς ἄρης, ψυχαὶ δ' ἄϊδόσδε κατῆλθον. ὅθεν δῆλόν ἐστιν ὅτι τὰ ἀναφερόμενα ἀπὸ τῶν περὶ γῆν ὑδάτων ὑγρὰ ἀναπεφυρμένα τῷ ὕδατι, τοιαῦτα ἄνωθεν κατηνέχθη· τοῦ δ' αὐτοῦ λόγου ἔχεται κἀκεῖνο. ἤματι ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ· τότε γὰρ ὁ ἥλιος ἐκ βάθους ἀνασπῶν διὰ ξηρότητα τῆς γῆς τὰ ὑγρά, θολερά, καὶ γεώδη

ἀναφέρει. τὰ δὲ ὑπὸ βάρους λάβρα καταῤῥήγνυται. αἱ μὲν οὖν ὑγραὶ ἀναθυμιάσεις, ὑετοὺς γεννῶσιν, αἱ δὲ ξηραὶ, ἀνέμους. ὅταν δὲ νέφει ἐναπολειφθῇ ἄνεμος, ἔπειτα βίᾳ ῥήξῃ τὸ νέφος, βροντὰς, καὶ ἀστραπὰς ἀποτελεῖ. εἰ δὲ ἐκπίπτοι ἡ ἀστραπὴ, κεραυνὸν ἀφίησιν. ὅπερ εἰδὼς ὁ ποιητὴς λέγει τὰ τοιαῦτα. ἀστράψας δὲ μεγάλ᾽ ἔκτυπε. καὶ ἐν ἄλλοις, ζεὺς δ᾽ ἄμυδις βρόντησε, καὶ ἔμβαλε νηὶ κεραυνόν.

Θ θεοὺς εἶναι πάντες οἵγε ὀρθῶς φρονοῦντες νομίζουσι, καὶ πρῶτος ὅμηρος. ἀεὶ γὰρ μέμνηται τῶν θεῶν λέγων, μάκαρες θεοὶ ῥεῖα ζώοντες. ἀθάνατοι δὲ ὄντες, ῥᾳδίαν, καὶ ἄπαυστον ἔχουσι τὴν τοῦ ζῆν φύσιν, καὶ οὐ δέονται τροφῆς, ἧς δεῖται τῶν θνητῶν ζώων τὰ σώματα. οὐ γὰρ σῖτον ἔδουσ᾽, οὐ πίνουσ᾽ αἴθοπα οἶνον. τοὔνεκ᾽ ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται. ἐπεὶ δὲ ἐδεῖτο ἡ ποίησις θεῶν ἐνεργούντων ἵνα τὴν γνώμην αὐτῶν, αἰσθήσει τῶν ἐντυγχανόντων παραστήσῃ, περιέθηκεν αὐτοῖς σώματα. οὐδὲν δὲ ἄλλο σώματος εἶδος ἢ τοῦ ἀνθρώπου δεκτικόν ἐστιν ἐπιστήμης, καὶ λόγου, προσεικάσας ἕκαστον τῶν θεῶν, μετὰ τοῦ κοσμῆσαι μεγέθει τε, καὶ κάλλει, ἅμα καὶ τοῦτο ὑπέδειξε, τὸ εἰκόνας, καὶ ἀγάλματα θεῶν μετὰ τοῦ εἰς ἀνθρώπων εἶδος, ἠκριβωμένα ἱδρύσθαι ὑπὲρ τοῦ παρέχειν ὑπόμνησιν, καὶ τοῖς ἔλασσον φρονοῦσιν, ὅτι εἰσὶ θεοί. τούτων δὲ πάντων ἀρχηγὸν, καὶ ἡγεμόνα τὸν πρῶτον θεὸν νομιζόντων τῶν ἀρίστων φιλοσόφων ἀσώματον ὄντα, καὶ νοήσει μᾶλλον καταληπτόν. καὶ ὅμηρος ταῦτα ὑπολαμβάνων φαίνεται, παρ᾽ ᾧ λέγεται ὁ ζεὺς, πατὴρ ἀνδρῶν τε θεῶν τε. καὶ ὦ πάτερ ἡμέτερε κρονίδη ὕπατε κρειόντων. καὶ αὐτὸς μὲν ὁ ζεύς φησιν. ὅσον ἐγὼ περί τ᾽ εἰμὶ θεῶν περί τ᾽ εἰμ᾽ ἀνθρώπων. ἡ δὲ ἀθηνᾶ πρὸς αὐτόν. εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅτοι σθένος οὐκ ἐπιεικτόν. εἰ δὲ δεῖ καὶ

τοῦτο ζητῆσαι, εἰ νοητὸν ἠπίστατο τὸν θεὸν, οὐκ ἀντικρυς μὲν ἅτε ἐν ποιήσει πολὺ τὸ μυθῶδες ἐχούσῃ· ὅμως δὲ ἔστι καταμαθεῖν, ἐν οἷς φησιν. εὗρε δ' εὐρύοπα κρονίδην ἄτερ ἥμενον ἄλλων· καὶ ἐν οἷς αὐτὸς λέγει· ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ οὐλύμποιο ἥμενος, ἔνθ' ὁρῶν φρένα τέρψομαι ἡ γὰρ μόνωσις αὕτη, καὶ τὸ μὴ καταμιγνύειν τοῖς ἄλλοις θεοῖς ἑαυτόν, ἀλλὰ χαίρειν ἑαυτῷ συνόντα, καὶ χρώμενον ἡσυχίαν ἄγοντι, καὶ ἀεὶ διακοσμοῦντι τὰ πάντα, τὴν τοῦ νοητοῦ θεοῦ φύσιν παρίστησιν· οἶδε δὲ ὅτι νοῦς ἐστιν ὁ θεός, ὁ πάντα ἐπιστάμενος, καὶ διέπων τὸ πᾶν· φησὶ γοῦν ὁ ποσειδῶν. ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδέ γε πάτρη· ἀλλὰ ζεὺς πρότερος ἐγεγόνει, καὶ πλείονα ᾔδει. καὶ τοῦτο πολλάκις, ἔνθ' αὖτ' ἄλλ' ἐνόησε. τοῦτο σημαίνει ὅτι ἀεὶ διανοεῖται.

Τῆς δὲ τοῦ θεοῦ διανοίας ἔχεται καὶ ἡ πρόνοια, καὶ εἱμαρμένη, περὶ ὧν εἴρηνται λόγοι πολλοὶ παρὰ τοῖς φιλοσόφοις· τούτων δὲ πάντων τὰς ἀφορμὰς ὅμηρος παρέσχε. τὰ μὲν τῆς προνοίας τῶν θεῶν τί ἂν καὶ λέγοι τις, ὅπου διὰ πάσης τῆς ποιήσεως οὐ μόνον πρὸς ἀλλήλους ὑπὲρ τῶν ἀνθρώπων διαλέγονται, ἀλλὰ καὶ καταβάντες ἐπὶ τὴν γῆν, τοῖς ἀνθρώποις ὁμιλοῦσιν· ὀλίγα δὲ παραδείγματος ἕνεκα θεασώμεθα· οἷς ἐστιν ὁ ζεὺς λέγων πρὸς τὸν ἀδελφόν, ἔγνως ἐννοσίγαιε ἐμὴν ἐνὶ στήθεσι βουλήν, ὧν ἕνεκα ξυνάγειρα, μέλουσί μοι ὀλλύμενοί περ. καὶ ἐν ἄλλοις, ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ' ὀλοφύρεται ἦτορ.

Ἔτι δὲ τὸ βασιλικὸν ἀξίωμα, καὶ τὸ φιλάνθρωπον ἦθος ἐμφαίνει ἐπῶν, πῶς ἂν ἔπειτ' ὀδυσῆος ἐγὼ θείοιο λαβοίμην, ὃς περὶ μὲν νόον ἐστὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖσιν ἀθανάτοισι δέδωκε, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν; ἐν οἷς ὁρᾷν

δῆλον ὅτι ἐπῄνεσε τὸν ἄνδρα πρῶτον ἐπὶ τῷ νοῦν ἔχειν· δεύτερον δὲ ἐπὶ τῷ σέβειν θεούς· πῶς δὲ αὐτοῖς τοῖς ἀνθρώποις ὁμιλοῦντας, καὶ συμπονοῦντας ποιεῖ τοὺς θεούς, ἐν πολλοῖς ἔστι καταμαθεῖν· ὥσπερ καὶ τὴν ἀθηνᾶν, ποτὲ μὲν τῷ ἀχιλλεῖ, ἀεὶ δὲ τῷ ὀδυσσεῖ, καὶ τὸν ἑρμῆν τῷ πριάμῳ, καὶ αὖ πάλιν τῷ ὀδυσσεῖ· καθόλου δὲ ἀεὶ τοὺς θεοὺς τοῖς ἀνθρώποις παραστατεῖν οἴεται· φησὶ γάρ καί τε θεοὶ ἐοικότες ἀλλοδαποῖσι παντοῖοι τελέθοντες ἐπιστρωφῶσι πόληας, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες· τῆς δὲ προνοίας τῶν θεῶν, ἴδιόν ἐστι τὸ βούλεσθαι δικαίως τοὺς ἀνθρώπους βιοῦν· καὶ τοῦτό φησιν ὁ ποιητὴς ἐναργέστατα· οὐ γὰρ σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν, ἀλλὰ δίκην τίουσι, καὶ αἴσιμα ἔργ' ἀνθρώπων· καὶ ζεὺς ὅς τ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ, οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας· ὥσπερ γὰρ τοὺς θεοὺς προνοουμένους τῶν ἀνθρώπων εἰσάγει, οὕτω καὶ τοὺς ἀνθρώπους μεμνημένους αὐτῶν ἐν πάσῃ τύχῃ· καὶ ὁ μὲν ἀγαμέμνων στρατηγὸς φησὶν ἔλπομαι εὐχόμενος διί τ' ἄλλοισί τε θεοῖσιν ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους· ὁ δὲ κινδυνεύων· ζεῦ πάτερ ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας ἀχαιῶν· καὶ πάλιν ὁ μὲν ἕκτωρ, ἐπεὶ δὴ τὸν ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν· ὁ δὲ θνήσκων, φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι· πόθεν δὲ ἄλλοθεν, ἢ ἐκ τῶν εἰρημένων ἐστὶ τὸ δόγμα ἐκεῖνο τῶν στωϊκῶν;

Τὸ δὲ ἕνα μὲν εἶναι τὸν κόσμον, συμπολιτεύεσθαι δὲ ἐν αὐτῷ θεοὺς καὶ ἀνθρώπους δικαιοσύνης μετέχοντας φύσει· καὶ γὰρ ὅταν εἴπῃ· ζεὺς δὲ θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι· τίπτ' αὖτ' ἀργικέραυνε θεοὺς ἀγορήνδε κάλεσσας· ἦ τι περὶ τρώων, καὶ ἀχαιῶν μερμηρίζεις, τί ἄλλο ὑποδείκνυσιν, ἢ ὅτι νόμῳ πόλεως ὁ κόσμος διοικεῖ-

ται; καὶ προβουλεύονται οἱ θεοὶ ἐξάρχοντος τοῦ θεῶν τε, καὶ ἀνθρώπων πατρός.

Τὴν δὲ περὶ τῆς εἱμαρμένης δόξαν, δείκνυσιν ἐν ἔπεσι σαφῶς, μοῖραν δ᾽ οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται. καὶ ἐν τοῖς ἄλλοις κρατύνει τὴν δύναμιν τῆς εἱμαρμένης, ἕπεται μέντοι καὶ αὐτὸς ὥσπερ καὶ μετ᾽ αὐτὸν οἱ δοκιμώτατοι τῶν φιλοσόφων, πλάτων, καὶ ἀριστοτέλης, καὶ θεόφραστος, οὐ πάντα καθ᾽ εἱμαρμένην παραγίνεσθαι, ἀλλά τι καὶ ἐπὶ τοῖς ἀνθρώποις εἶναι, ὧν ὑπάρχει μὲν τὸ ἑκούσιον. τούτῳ δέ πως συνάπτειν τὸ κατηναγκασμένον, ὅταν τὶς πράξας ὃ βούλεται, εἰς ὃ μὴ βούλεται, ἐμπέσῃ· καὶ ταῦτα σαφῶς ἐν πολλοῖς δεδήλωκεν· ὥστε καὶ ἐν ταῖς ἀρχαῖς ἑκατέρας τῆς ποιήσεως. ἐν μὲν τῇ ἰλιάδι λέγων τὴν ὀργὴν τοῦ ἀχιλλέως αἰτίαν τῆς ἀπωλείας τῶν ἑλλήνων γενέσθαι. καὶ τότε τὴν διὸς βούλησιν ἐκτελεσθῆναι· ἐν δὲ τῇ ὀδυσσείᾳ τοὺς ἑταίρους τοῦ ὀδυσσέως διὰ τὴν αὐτῶν ἀβουλίαν ὀλέθρῳ περιπεσεῖν· ἐξήμαρτον γὰρ ἁψάμενοι τῶν ἱερῶν τοῦ ἡλίου βοῶν, ἐξὸν ἀπέχεσθαι αὐτῶν. καὶ γὰρ ἦν προειρημένον, τὰς εἰ μὲν κ᾽ ἀσινέας ἐάσῃς, νόστου δὲ μέδηαι. καί κεν ἔτ᾽ εἰς ἰθάκην κακά περ πάσχοντες ἵκοισθε· εἰ δέ κε σίνηαι, τότε τοι τεκμαίρομ᾽ ὄλεθρον. οὕτως τὸ μὲν μὴ ἀδικῆσαι, ἐπ᾽ αὐτοῖς. τὸ δὲ ἀδικήσαντας ἀπολέσθαι, ἐκ τῆς εἱμαρμένης ἀκόλουθον ἦν. ἔνεστι δὲ καὶ τὸ ἄλλως συμβαῖνον ἐκ προνοίας διαφυγεῖν. ὅπερ ἐν τούτῳ παρίστησιν· ἔνθα δὲ καὶ δύστηνος ὑπὲρ μόρον ὤλετ᾽ ὀδυσσεὺς, εἰ μὴ ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις ἀθήνη. ἀμφοτέρῃσι δὲ χερσὶν ἐπεσσύμενος λάβε πέτρης, τῆς ἔχετο στενάχων, εἵως μέγα κῦμα παρῆλθεν. ἐνταῦθα γὰρ ἐκ τοῦ ἐναντίου κινδυνεύων ὑπὸ τύχης ἀπολέσθαι,

λέσθαι, ἐκ προνοίας ἐσώθη.

Καθάπερ δὲ περὶ τῶν θεῶν πολλοὶ, καὶ ποικίλοι παρὰ τοῖς φιλοσόφοις τὰς πλείστας ἀφορμὰς ἐξ ὁμήρου λαβοῦσιν, οὕτω καὶ περὶ τῶν ἀνθρωπείων πραγμάτων, ὧν πρῶτον περὶ τῆς ψυχῆς πειρασώμεθα. τὸ μὲν δὴ τῶν δογμάτων, πυθαγόρου, καὶ πλάτωνος γενναιότατόν ἐστι, τὸ εἶναι τὴν ψυχὴν ἀθάνατον, ᾗ καὶ πέρας τῷ λόγῳ προστίθησιν ὁ πλάτων. τίς οὖν τοῦτο πρῶτον ἀνεφώνησεν; ὅμηρος εἰπὼν ἄλλα τε, καὶ ταῦτα. ψυχὴ δ' ἐκ ῥεθέων πταμένη, ἄϊδόσδε βεβήκει, ἐς τὸν ἀειδῆ, καὶ ἀόρατον, εἴτε ἀέρα θέλει τίς, εἴτε ὑπόγειον τόπον. καὶ ἐν μὲν τῇ ἰλιάδι ποιῶν τὴν τοῦ πατρόκλου ψυχὴν ἐφισταμένην κοιμωμένῳ τῷ ἀχιλλεῖ. ἦλθε δ' ἐπὶ ψυχὴ πατροκλῆος δειλοῖο. καὶ λόγους αὐτῷ περιτίθησιν. ἐν οἷς καὶ τοῦτο λέγει. τῆλέ με εἴργουσι ψυχαὶ, εἴδωλα καμόντων. ἐν δὲ τῇ ὀδυσσείᾳ δι' ὅλης τῆς νεκυίας τί ἄλλο, ἢ τὰς ψυχὰς δείκνυσι μετὰ θάνατον διαμενούσας, καὶ φθεγγομένας ἅμα τῷ πιεῖν τοῦ αἵματος; καὶ τοῦτο ᾔδει ὅτι τὸ αἷμα νομὴ, καὶ τροφή ἐστι τοῦ πνεύματος. τὸ δὲ πνεῦμα, ἐστιν αὐτὴ ἡ ψυχὴ, ἢ ὄχημα τῆς ψυχῆς.

Εναργέστατα δὲ κἀκεῖνο ἀπέφηνεν, ὅτι τὸν ἄνθρωπον οὐδὲν ἄλλο, ἢ τὴν ψυχὴν νομίζει. ἐν οἷς λέγει. ἦλθε δ' ἐπὶ ψυχὴ θηβαίου τειρεσίαο, χρύσεον σκῆπτρον ἔχων. ἐπὶ τῆδε γὰρ ἀπὸ τοῦ τῆς ψυχῆς ὀνόματος εἰς τὸ ἀρρενικὸν μετέβαλεν, ἵνα δείξῃ, ὅτι ἡ ψυχὴ ἦν ὁ τειρεσίας, καὶ ἐν τοῖς ἑξῆς πάλιν. τὸν δὲ μετ' εἰσενόησε βίην ἡρακληείην εἴδωλον. αὐτὸς δὲ μετ' ἀθανάτοισι. καὶ γὰρ ἐν τούτοις πάλιν ἐδήλωσεν, ὅτι τὸ μὲν εἴδωλον, ὅπερ ἦν ἀποπετασμένον τοῦ σώματος, οὐκέτι τῆς ἐκείνου ὕλης ἐφελκόμενον ἐφαντάζετο. τὸ δὲ καθαρώτατον τῆς ψυχῆς ἀπελθὸν αὐτὸς ἦν ὁ ἡρακλῆς.

Ὅθεν κἀκεῖνο δοκεῖ τοῖς φιλοσόφοις τὸ εἶναι τὸ σῶμα τρόπον τινὰ τῆς ψυχῆς δεσμωτήριον. καὶ τοῦτο δὲ ὅμηρος πρῶτος ἐδήλωσε. τὸ μὲν γὰρ τῶν ζώντων ἀεὶ δέμας προσαγορεύει, ὡς ἐν τούτοις· οὐ δέμας, οὐδὲ φυήν, καὶ δέμας ἤικτο γυναικί, καὶ ἤτοι ἐμὴν ἀρετὴν, εἶδός τε, δέμας τε. τὸ δὲ ἀποβεβληκὸς τὴν ψυχὴν, οὐδὲν ἄλλο, ἢ σῶμα καλεῖ ὡς ἐν τούτοις· σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, καὶ σώματ' ἀκηδέα κεῖται ἐνὶ μεγάροις ὀδυσῆος. καὶ σῶμα γὰρ ἐν κίρκης μεγάρῳ κατελείπομεν ἡμεῖς. τὸ γὰρ αὐτὸ ζῶντος μὲν τοῦ ἀνθρώπου, δεσμὸς ἦν τῆς ψυχῆς· τελευτήσαντος δέ, ὥσπερεὶ σῆμα καταλείπεται.

Τούτῳ δὲ ἕπεται καὶ ἕτερον δόγμα τοῦ πυθαγόρου· τὸ μεταβαίνειν τὰς ψυχὰς τῶν τελευτησάντων εἰς ἕτερα σωμάτων εἴδη. ἀλλ' οὐδὲ τοῦτο τῆς ὁμήρου διανοίας ἐκτός ἐστιν. ὁ γὰρ ποιήσας καὶ τὸν ἕκτορα τοῖς ἵπποις διαλεγόμενον, καὶ τὸν ἀντίλοχον, καὶ αὐτὸν τὸν ἀχιλλέα, καὶ μὴ ὅτι διαλεγόμενον, ἀλλὰ καὶ ἀκούοντα, καὶ τὸν κύνα πρὸ τῶν ἀνθρώπων, καὶ τῶν οἰκείων ἐπιγινώσκοντα τὸν ὀδυσέα, τί ἄλλο, ἢ τὴν κοινωνίαν τοῦ λόγου, καὶ συγγένειαν τῆς ψυχῆς τῶν ἀνθρώπων, καὶ τῶν ἄλλων ζώων παρίστησι; καὶ οἱ τὰς βοῦς τοῦ ἡλίου καταφαγόντες, καὶ ἐκ τούτων ὀλέθρῳ περιπεσόντες, ἐλέγχουσιν, ὅτι οὐ μόνον βόες, ἀλλὰ καὶ πάντα τὰ ἄλλα ζῶα ὡς τῆς αὐτῆς φύσεως ζωτικῆς μετέχοντα, τιμᾶται ὑπὸ τῶν θεῶν. καὶ τὸ μεταβάλλειν δὲ τοὺς ἑταίρους τοῦ ὀδυσέως εἰς σύας, καὶ τοιαῦτα ζῶα, τοῦτο αἰνίττεται, ὅτι τῶν ἀφρόνων ἀνθρώπων αἱ ψυχαί, μεταλλάττουσιν εἰς εἴδη σωμάτων θηριωδῶν ἐμπεσοῦσαι τὴν τοῦ παντὸς ἐγκύκλιον περιφοράν, ἣν κίρκην προσαγορεύει. καὶ κατὰ τὸ εἰκὸς ἡλίου παῖδα ὑποτίθεται οἰκοῦσαν ἐν τῇ αἰαίῃ νήσῳ. ταύτην δὲ ἀπὸ τοῦ αἰάζειν, καὶ ὀδύρεσθαι τοὺς ἀνθρώπους ἐπὶ τοῖς θανάτοις κεκλη-

Ὁ δὲ ἔμφρων ἀνὴρ αὐτὸς ὁ Ὀδυσσεὺς οὐκ ἔπαθε τὴν τοιαύτην μεταβολὴν παρὰ τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου τὸ ἀπαθὲς λαβών. αὐτὸς δὲ οὗτος, καὶ εἰς ᾅδου κάτεισιν, ὥσπερ εἶναι λέγων χωρίζειν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, καὶ θεατὴς ψυχῶν τῶν τε ἀγαθῶν, καὶ φαύλων γιγνόμενος. αὐτὴν δὲ τὴν ψυχὴν οἱ στωϊκοὶ ὁρίζονται πνεῦμα συμφυὲς, καὶ ἀναθυμίασιν αἰσθητικὴν, ἀναπτομένην ἀπὸ τῶν ἐν σώματι ὑγρῶν, Ὁμήρῳ ἀκολουθήσαντες λέγοντι, εἰσόκ' ἀϋτμὴ ἐνὶ στήθεσσι μένῃ. καὶ πάλιν, ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνός. ἐν οἷς τὸ μὲν ζωτικὸν πνεῦμα ἅτε ἔνικμον ἀντιδίδοι. τὸ δὲ κατασβεννύμενον ἤδη, καπνῷ ἀπεικάζει, καὶ αὐτῷ δὲ τῷ τοῦ πνεύματος ὀνόματι κέχρηται ἐπ' αὐτῆς. ὡς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν. καὶ θυμὸν ἀποπνείων. καὶ ἤδ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη, τουτέστι τὸ πνεῦμα διεσπαρμένον συνελέξατο. καὶ αὖθις δ' ἀμπνύνθη. παρὰ δὲ πνοιὴ Βορέαο, ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν. τοῦ γὰρ λειποθυμοῦντος τὸ πνεῦμα ῥιπίσασα ἡ ἔξωθεν πνοὴ συμφυὴς οὖσα, ζῶντα αὐτὸν κατέστησε. συναίρεται δὲ τῷ λόγῳ, ὅτι καὶ ἐπὶ τοῦ ἐκτὸς πνεύματος τῷ τῆς ψυχῆς ὀνόματι κέχρηται φησὶν, ἣ κατὰ μάλα ψύξασα. βούλεται γὰρ εἰπεῖν ἀντιπνεύσασα.

Πλάτων δὲ, καὶ Ἀριστοτέλης τὴν ψυχὴν ἀσώματον εἶναι ἐνόμισαν. ἀεὶ δὲ περὶ σῶμα εἶναι. καὶ τούτου ὥσπερ ὀχήματος δεῖσθαι. διὸ καὶ ἀπαλλασσομένην τοῦ σώματος, τὸ πνευματικὸν ἐφέλκεσθαι πολλάκις καθάπερ ἐκμαγεῖον, ἣν ἔχει τῷ σώματι μορφὴν διαφυλάσσουσαν. οὕτως οὖν καὶ Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως εὑρεθήσεται σῶμα τὴν ψυχὴν καλῶν, ἀλλὰ τὸ ἐστερημένον ψυχῆς ἀεὶ τούτῳ τῷ ὀνόματι προσαγορεύει, ὥς καί τινων ἐν τοῖς πρό-

ὅθεν ἐμνημονεύσαμεν. τῆς δὲ ψυχῆς ἐχούσης ὡς καὶ τοῖς φιλοσόφοις δοκεῖ, τὸ μὲν, λογικὸν ἐνιδρυμένον τῇ κεφαλῇ, τὸ δὲ, ἄλογον, καὶ τούτου τὸ μὲν θυμικὸν ἐνοικοῦν τῇ καρδίᾳ, τὸ δὲ ἐπιθυμητικὸν, ἐν τοῖς περὶ τὴν γαστέρα, ἆρ' οὖν οὐ πρότερος ὅμηρος εἶδε τὴν τούτου διαφορὰν ὡς ἐποίησεν, ἐπὶ μὲν τοῦ ἀχιλλέως, τὸν λογισμὸν τῷ θυμῷ μαχόμενον, καὶ ἐν τῇ αὐτῇ ῥοπῇ διανοούμενον, ἢ ἀμύνεσθαι τὸν λελυπηκότα, ἢ παῦσαι τὸν χόλον· ἕως ὅ ταῦθ' ὥρμαινε κατὰ φρένα, καὶ κατὰ θυμόν. τουτέστι τὴν φρόνησιν, καὶ τὴν ἀντικειμένην αὐτῷ θυμικὴν ὀργὴν, ἧς τὴν φρόνησιν ἐπικρατοῦσαν πεποίηκε. τοῦτο γὰρ αὐτῷ ἡ ἐπιφάνεια τῆς ἀθηνᾶς βούλεται. καὶ ἐν ἄλλοις δὲ ποιεῖ τὸν λογισμὸν τῷ θυμῷ παραινοῦντα, καὶ ὥσπερ ἄρχοντα τῷ ὑποτεταγμένῳ κελεύοντα· τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλό ποτ' ἔτλης. καὶ πολλάκις μὲν τῷ λογισμῷ πείθεται τὸ θυμούμενον, ὡς ἐν τούτοις· ὣς ἔφατ' ἐν στήθεσι καθαπτόμενος φίλον ἦτορ· τῷ δ' αὖτ' ἐν πάσῃ κραδίῃ μένε τετληκυῖα. ὁμοίως δὲ καὶ τὸ λυπούμενον, ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ, θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ. ἐνίοτε δὲ περιγενόμενον τὸν θυμὸν τοῦ λογισμοῦ παρίστησιν. ὅπερ οὐκ ἐπαινῶν, ἀλλὰ ψέγων φανερός ἐστιν, ὡς ὁ νέστωρ τῷ ἀγαμέμνονι τὴν εἰς τὸν ἀχιλλέα ὕβριν ὀνειδίζων φησίν· οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε πόλλ' ἀπεμυθεόμην· σὺ δὲ σῷ μεγαλήτορι θυμῷ εἴξας, ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας. ὅμοια δὲ τούτοις καὶ ὁ ἀχιλλεὺς πρὸς τὸν αἴαντα λέγει· πάντα τί μοι κατὰ μοῖραν ἐέσω μυθήσασθαι. ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ, ὁππότ' ἐκείνου μνήσομαι, ὅς μ' ἀσύφηλον ἐν ἀργείοισιν ἔρεξεν. οὕτω δὲ καὶ ὑπὸ φόβου ἐστὶν ὅτε

ὁ λογισμὸς ἐξίσταται. ὅπου Ἕκτωρ μὲν διανοεῖται ὑποστῆναι τὴν πρὸς τὸν Ἀχιλλέα μάχην· βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν ὅττι τάχιστα· εἴδομεν ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ. εἶτ' ἀναχωρεῖ πλησίον γενομένου τοῦ Ἀχιλλέως· Ἕκτορα δ' ὡς ἐνόησεν, ἕλε τρόμος, οὐδ' ἄρ' ἔτλη αὖθι μένειν. ὀπίσω δὲ πύλας λίπε. βῆ δὲ φοβηθείς.

Ἔστι δὲ κἀκεῖνο δῆλον, ὅτι τὰ πάθη περὶ τὴν καρδίαν συνίστησιν, ὀργὴν μὲν οὕτως, κραδίη δέ οἱ ἔνδον ὑλάκτει. λύπην δὲ τέο, μέχρις ὀδυρόμενος, καὶ ἀχεύων σὴν ἔδεαι κραδίην. τὸν δὲ φόβον, κραδίη δέ μοι ἔξω στηθέων ἐκθρώσκει· τρομέει δ' ὑπὸ φαίδιμα γυῖα. κατὰ τὸν αὐτὸν δὲ λόγον ὥσπερ τὸν φόβον, οὕτω καὶ θάρσος περὶ καρδίαν ἀποφαίνει. καρδίη ἄλληκτον πολεμίζειν, ἠδὲ μάχεσθαι. ἐκ δὲ τῶν εἰρημένων, ἔδοξε τοῖς στωϊκοῖς τὸ ἡγεμονικὸν εἶναι περὶ καρδίαν, τὸ δὲ ἐπιθυμητικὸν, ὅπως περὶ γαστέρα ἐν πολλοῖς διασαφεῖ, καὶ ἐν τούτοις. ἀλλά με γαστὴρ ὀτρύνει κακοεργὸς, καὶ γαστέρα δ' οὔπως ἔστιν ἀποκρύψαι μεμαυῖαν. καὶ τὰς αἰτίας δὲ τῶν περὶ τὸ θυμικὸν μέρος τῆς ψυχῆς, φύσεις συμβαινούσας κατεῖδε. τὴν μὲν ὀργὴν ὑπὸ λύπης ἐγγινομένην, ζέσιν δέ τινα τοῦ αἵματος, καὶ τοῦ ἐν αὐτῷ πνεύματος οὖσαν ἐμφαίνων, ὡς ἐν τούτοις. ἀχνύμενος, μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην. μένος γὰρ τὸ πνεῦμα προσαγορεύειν ἔοικε. τοῦτο δὲ ἐγγίνεσθαι, καὶ φλέγεσθαι ἐπὶ τῶν θυμουμένων οἴεται. πάλιν δὲ αὖ τὸ τῶν φοβουμένων πνεῦμα συγχεόμενον, καὶ καταψυχόμενον, τὰς φρίκας, καὶ τοὺς τρόμους ποιεῖ, καὶ τὰς ὠχριώσεις ἐν τοῖς σώμασι. πάντα γὰρ ταῦτα συμβαίνει ὑπὸ ψύξεως. ἡ μὲν ὠχρότης, ὅτι τοῦ θερμοῦ συντρέχοντος εἰς τὰ μέσα, τὸ ἔρευθος ἀπολείπῃ τὴν ἐπιφάνειαν. ὁ δὲ τρόμος, ὅτι

αὐτὸς συνειλούμενον τὸ πνεῦμα, θράσσει τὸ σῶμα. ἡ δὲ φρίκη, ὅτι πηγνυμένου τοῦ ὑγροῦ, αἱ τρίχες πιεζόμεναι ἀνίστανται. πάντα δὲ ταῦτα σαφῶς σημαίνει ὅμηρος. φησὶ γὰρ χλωροὶ ὑπαὶ δείους, καὶ χλωρὸν δέος ᾕρει· καὶ τρόμε δ' ὑπο φαίδιμα γυῖα· καὶ ὡς φάτο, σὺν δὲ γέροντι νόος χύτο. δείδιε δ' αἰνῶς. ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσιν.

Κατὰ ταῦτα δὴ καὶ τὸ ἐφοβήθη, ῥίγησε λέγει, καὶ τὸν φόβον, κρυόεντα προσαγορεύει. ἐκ δὲ τοῦ ἐναντίου, θαλπωρὴν τὸ θάρσος, καὶ τὴν ἀγαθὴν ἐλπίδα. τὰ μὲν δὴ φαῦλα πάθη, τοῦτον διαιρεῖται τὸν τρόπον. πάλιν δὲ τῶν περὶ ἀριστοτέλην ἀστεῖα πάθη ἡγουμένων τὴν νέμεσιν, καὶ τὸν ἔλεον. τὸ γὰρ τοὺς ἀγαθοὺς δάκνεσθαι ἐπὶ τοῖς πλησίον, εἰ παρ' ἀξίαν εὐτυχοῦσι, νέμεσις καλεῖται. τὸ δὲ λυπεῖσθαι, εἰ παρ' ἀξίαν δυστυχοῦσιν, ἔλεος λέγεται, ταῦτα καὶ ὅμηρος προσήκειν τοῖς ἀγαθοῖς νομίζει, ὅπου καὶ τῷ διὶ ἀνατίθησιν αὐτά. ποιεῖ γὰρ ἄλλα τε, καὶ ταῦτα. αἴαντος δ' ἀλέεινε μάχην τελαμωνιάδαο, ζεὺς γάρ οἱ νεμεσᾶθ' ὅτ' ἀμείνονι φωτὶ μάχοιτο. καὶ ἐν ἄλλοις, πάλιν οἰκτείρει τὸν αὐτὸν τρόπον διωκόμενον περὶ τεῖχος.

Περὶ δὲ ἀρετῆς, καὶ κακίας ψυχῆς, ἣν ἔχει δόξαν ὁ ποιητὴς ἐν πολλοῖς παρίστησιν. ἐπεὶ γὰρ τὸ μέν, τι τῆς ψυχῆς νοερόν, καὶ λογικόν ἐστι, τὸ δέ, ἄλογον, καὶ ἐμπαθές, καὶ διὰ τοῦτο μέσος θεοῦ, καὶ θηρίου γέγονεν ἄνθρωπος, τὴν μὲν ἄκραν ἀρετὴν, θείαν ἡγεῖται. τὴν δὲ ἄκραν κακίαν, θηριωδίαν, ὡς ὕστερον ἀριστοτέλης ὠνόμασε, καὶ ταῦτα ἐμφανίζει ἐν ταῖς ὁμοιώσεσιν. ἀλλὰ γὰρ τοὺς ἀγαθοὺς ὀνομάζει θεοειδεῖς, καὶ διὶ μῆτιν ἀτάλαντον. τῶν δὲ φαύλων τοὺς μὲν δειλοὺς, φυζακινοῖς ἐλάφοισιν εἰκάζει, καὶ προβάτοις ἀσημάντοις, καὶ λαγωοῖς διωκομένοις. ἐπὶ δὲ τῶν προπετῶς, καὶ ἀνοήτως ὑπὸ ὀργῆς φερομένων φησίν, οὔτ' οὖν

παρδάλιος τόσσον μένος, οὔτε λέοντος, οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μάλιστα θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει, ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσι. τοὺς δὲ λυπουμένων ἐμπαθέστερον ὀδυρμοὺς ἀηδόνων φωναῖς ἀπεικάζει· τέκνα ἀγρόται ἐξείλοντο, πάρος πετεινὰ γενέσθαι. οἱ μὲν οὖν στωϊκοί, τὴν ἀρετὴν τίθενται ἐν τῇ ἀπαθείᾳ, ἐκείνοις ἑπόμενοι, ἐν οἷς πᾶν πάθημα ἀναιρεῖ λέγων. περὶ μὲν λύπης, ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνησι νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας. καὶ τίπτε δεδάκρυσαι Πατρόκλεις ἠΰτε κούρη. περὶ δὲ ὀργῆς, ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ' ἀνθρώπων ἀπόλοιτο. περὶ δὲ τοῦ φόβου, μήτι φόβονδ' ἀγόρευε, ἐπεὶ οὐδέ σε πεισέμεν οἴω. καὶ ὃς δέ κεν ὑμέων βλήμενος, ἠὲ τυπεὶς θάνατον, καὶ πότμον ἐπίσπῃ, τεθνάτω. οὕτω καὶ προκαλούμενοι εἰς μονομαχίαν ἀφόβως ὑπακούουσι. καὶ πλείους ἀνθ' ἑνὸς ἀνίστανται. καὶ ὁ τετρωμένος, οὐδὲν ἧσσον ἔχει τὸ θάρσος παραμένον ὥς που φησί. νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως. καὶ πᾶς ὁ γενναῖος ἀπεικάζεται λέοντι, ἢ κάπρῳ, ἢ χειμάρρῳ, ἢ λαίλαπι. οἱ δὲ ἐκ τοῦ περιπάτου τὴν ἀπάθειαν ἀνέφικτον ἀνθρώπῳ νομίζουσι. τὴν δὲ μετριοπάθειαν εἰσάγοντες, τῷ τὴν ὑπερβολὴν τῶν παθῶν ἀναιρεῖν μεσότητι τὴν ἀρετὴν ὁρίζονται. καὶ ὅμηρος ἀεὶ παράγει τοὺς ἀρίστους, οὔτε ἀπενθεῖς, οὔτε μὴν ἀφόβους, ἢ ἀλύπους παντελῶς, ἐν τῷ μὴ ἄγαν δὲ τοῖς πάθεσι κρατεῖσθαι, τῶν φαύλων διαφέροντας. φησὶ γοῦν, τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ, οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός. ἐν δέ τέ οἱ κραδίη, μεγάλα στέρνοισι πατάσσει, κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνετ' ὀδόντων. τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρώς, οὔτε τι λίην ταρβεῖ. ἄδηλον γοῦν

ὅτι τοῦ ἀγαθοῦ τὸ λίαν φοβεῖσθαι ὑφελών, τὸ μέτριον καταλείπει. τοῦτο δὲ καὶ ἐπὶ τῶν ὁμοίων λύπης τε, καὶ ὀργῆς κρινοῦσιν. τοιοῦτον δή τι κἀκεῖνο. Τρῶας μὲν τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον, Ἕκτορί τ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν. οἱ μὲν γὰρ ἄλλοι καὶ ὁρῶντες, ἔτρεμον. ὁ δ' ἐν τῷ κινδύνῳ καθεστὼς ἀνδρεῖος ὤν, μόνον ἠγωνία. ὅθεν ἄλλως μὲν ποιεῖ τὸν Δόλωνα, καὶ τὸν Λυκάονα φοβουμένους, ἄλλως δὲ τὸν Αἴαντα, καὶ τὸν Μενέλαον, ἐντροπαλιζομένους, καὶ βάδην ὑποχωροῦντας, ὥσπερ ἀπωσαμένους σταθμοῦ λέοντας. ὡσαύτως δὲ καὶ λυπουμένων διαφορὰς ἐπιδείκνυσι, καὶ ἡδομένων ὁμοίως. ὥσπερ ὁ μὲν Ὀδυσσεὺς διηγούμενος ὃν τρόπον τοὺς Κύκλωπας ἐξηπάτησεν, ἔφη. ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ. οἱ δὲ μνηστῆρες πεσόντα τὸν πτωχὸν ἰδόντες, χεῖρας ἀνασχόμενοι γέλῳ ἔκθανον. φαίνεται δὲ ἐν κατωτέροις ἡ τοῦ μετρίου διαφορά. καὶ ὁ μὲν Ὀδυσσεὺς τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, καὶ κλαίουσαν ἐπ' αὐτῷ ὁρῶν, φέρει. ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν, ἢ σίδηρος. τῶν δὲ μνηστήρων τῆς αὐτῆς ἐρώντων, τῶν θεασαμένων αὐτὴν λύτο γούνατα. ἔρως δ' ἄρα θυμὸν ἔθελγε. πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι. τοιαῦτα μὲν δή τὰ παρὰ τῷ ποιητῇ περὶ ψυχῆς δυνάμεων, καὶ παθῶν. περὶ δὲ ἀγαθῶν, καὶ εὐδαιμονίας, πολλῶν εἰρημένων παρὰ τοῖς φιλοσόφοις,

Τὸ μὲν τὴν ἀρετὴν τῆς ψυχῆς μέγιστον εἶναι τῶν ἀγαθῶν κατὰ πάντα συνέστηκεν. ἀλλ' οἱ μὲν Στωϊκοὶ τὴν ἀρετὴν αὐτάρκη ἡγοῦνται, πρὸς εὐδαιμονίαν λαβόντες τὸ ἐνδόσιμον ἐκ τῶν Ὁμηρικῶν τούτων. ἐν οἷς τὸν σοφώτατον, καὶ φρονιμώτατον πεποίηκεν, ὑπὲρ εὐκλείας πόνου καταφρονοῦντα, καὶ ἡδονῆς ὑπερορῶντα. τὸν μὲν πρότερον, οὕτως ἀλλ' οἷον τόδ' ἔρεξε, καὶ ἔτλη καρτερὸς ἀνήρ, αὐτὸ

μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσσας σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν οἰκῆϊ ἐοικώς, ἀνδρῶν δυσμενέων κατέδυ πόλιν. τὸ δεύτερον δὲ οὕτως. ἡ μὲν αὐτὸθ' ἔρυκε καλυψὼ δῖα θεάων. ὡς δ' αὔτως κίρκη κατερήτυεν ἐν μεγάροισιν αἰαίη δολόεσσα, λιλαιομένη πόσιν εἶναι· ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν.

Μάλιστα δὲ ἐν τούτοις τὴν τῆς ἀρετῆς δόξαν συνίστησιν, ἐν οἷς τὸν μὲν ἀχιλλέα ποιεῖ οὐ μόνον ἀνδρεῖον, ἀλλὰ καὶ κάλλιστον τὸ εἶδος, καὶ ποδωκέστατον, καὶ εὐγενέστατον, καὶ πατρίδος ἐπιφανοῦς, καὶ ὑπὸ τοῦ μεγίστου τῶν θεῶν βοηθούμενον, τὸν δὲ ὀδυσσέα συνετὸν μέν, καὶ καρτερὸν τῇ ψυχῇ, τὰ δὲ ἄλλα οὐχ ὁμοίᾳ τύχῃ κεχρημένον. ἡλικίας τε, καὶ ὄψεως οὐκ ἴσης, καὶ γονέων οὐ πάντῃ ὀνομαστῶν, καὶ πατρίδος ἀδόξου, καὶ ἀπεχθόμενον ἑτέρῳ θεῷ, ὧν οὐδὲν ἐκώλυεν αὐτὸν εἶναι εὐκλεᾶ, τὴν τῆς ψυχῆς ἀρετὴν κεκτημένον.

Οἱ δὲ ἐκ τοῦ περιπάτου πρωτεύειν μὲν τὰ τῆς ψυχῆς ἀγαθὰ νομίζουσιν, οἷον φρόνησιν, ἀνδρίαν, σωφροσύνην, δικαιοσύνην. δεύτερα δὲ εἶναι τὰ τοῦ σώματος, οἷον ὑγίειαν, ἰσχύν, κάλλος, τάχος. τρίτα δὲ τὰ ἐκτός, οἷον εὐδοξίαν εὐγένειαν, πλοῦτον. ἐπαινετὸν μὲν γὰρ εἶναι, καὶ θαυμαστὸν τὸν ἀλγήδοσι, καὶ νόσῳ, καὶ ἀπορίᾳ, καὶ συμφοραῖς ἀβουλήτοις, χρῆσθαι τῇ ἀρετῇ τῆς ψυχῆς ἀντεχούσης τοῖς κακοῖς, οὐ μέντοι αἱρετόν, οὐδὲ μακάριον.

Τὸ δὲ ἐν ἀγαθοῖς νοῦν ἔχειν, τῷ ὄντι εὔδαιμον. οὐδὲ γὰρ τὴν κτῆσιν μόνην τῆς ἀρετῆς, ἀλλὰ καὶ τὴν χρῆσιν, καὶ τὴν ἐνέργειαν εἶναι καλόν. ταῦτα δὴ καὶ ὁ Ὅμηρος δείκνυσιν ἄντικρυς. τοὺς μὲν γὰρ θεούς, ἀεὶ ποιεῖ δωτῆρας ἐάων, τουτέστι τῶν ἀγαθῶν, ἃ καὶ εὔχονται οἱ ἄνθρωποι παρέχειν αὐτοῖς τοὺς θεούς, οὐκ ἀνωφελῆ δηλονότι ὄντα αὐτοῖς, οὐδὲ ἀδιάφο-

Landesbibliothek Oldenburg

ρα, ἀλλὰ πρὸς εὐδαιμονίαν χρήσιμα.

Τίνα δὴ ἐστι τὰ ἀγαθά, ὧν ἐφίενται οἱ ἄνθρωποι, καὶ δι' ἃ μακαρίζονται, ἐν πολλοῖς διασαφεῖ, ἅμα μὲν πάντα ἐπὶ τοῦ Ἑρμοῦ, οἷος δὴ σὺ δέμας, καὶ εἶδος ἀγητὸς, πέπνυσαι δὲ νόῳ, μακάρων δ' ἔξεαι τοκήων. μαρτυρεῖ γὰρ αὐτῷ κάλλος σώματος, καὶ φρόνησιν, καὶ εὐγένειαν. τὰ δὲ κατὰ μέρος, τῷ δὲ θεοὶ κάλλος τε, καὶ ἠνορέην ἐρατεινὴν ὄπασσαν, καὶ θεσπέσιον πλοῦτον κατέχευε Κρονίων. δῶρον γὰρ ἐστι καὶ τοῦτο τοῦ θεοῦ. Ζεὺς δ' αὐτὸς νέμει Ὀλύμπιος ἀνθρώποισι.

Ποτὲ δὲ καὶ τὴν τιμὴν ἡγεῖται καλόν. τιοίμην δ' ὡς τίετ' Ἀθηναίη, καὶ Ἀπόλλων. πῶς δὲ τὴν εὐπαιδίαν, ὡς ἀγαθόν, καὶ παῖδα καταφθιμένοιο λιπέσθαι. πῶς δὲ τὴν τῶν οἰκείων ἀπόλαυσιν, πέμπετέ με σπείσαντες ἀπήμονα, χαίρετε δ' αὐτοί. ἤδη γὰρ τετέλεσται ἅ μοι φίλος ἤθελε θυμός, πομπή, καὶ φίλα δῶρα, τά μοι θεοὶ οὐρανίωνες ὄλβια ποιήσειαν. ἀμύμονα δ' οἴκοι ἄκοιτιν νοστήσας εὕροιμι σὺν ἀρτεμέεσι φίλοισιν. ὑμεῖς δ' αὖθι μένοντες, εὐφραίνοιτε γυναῖκας κουριδίας, καὶ τέκνα, θεοὶ δ' ἀρετὴν ὀπάσειαν παντοίην, καὶ μή τι κακὸν μεταδήμιον εἴη.

Ὅτι δὲ ἐν τῇ τῶν ἀγαθῶν συγκρίσει, τοῦ πλούτου κρεῖσσόν ἐστιν αὐτὸ τὸ δύνασθαι, δηλοῖ διὰ τούτων, ὃς καὶ χρυσὸν ἔχων, πόλεμον δ' ἴεν ἠΰτε κούρη. νήπιος, οὐδέ τι οἱ τό δ' ἐπήρκεσε λυγρὸν ὄλεθρον. καὶ ὡς οὔτοι χαίρων, τοῖσδε κτεάτεσσιν ἀνάσσω. καὶ ὅτι τὸ φρονεῖν, τοῦ καλοῦ εἴδους ἄμεινον. ἄλλος μὲν γάρ τ' εἶδος ἀκιδνότερος πέλει ἀνήρ, ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει.

Δῆλον μὲν δὴ ὅτι καὶ τὰ περὶ σῶμα, καὶ ἐκτὸς εὐτυχούμενα, ἀγαθὸν νομίζει. ὅτι δὲ ἄνευ τούτων οὐκ ἔστιν, αὐτάρ

κης ἡ ἀρετὴ μόνη πρὸς εὐδαιμονίαν ἐν ἐκείνοις. δύο γὰρ
ἄνδρας εἰς τέλος ἀρετῆς ἥκοντας ὑποθέμενος, τὸν νέστο-
ρα, καὶ τὸν ὀδυσσέα, καὶ τῶν μὲν ἄλλων διαφέροντας,
ἀλλήλοις δὲ ὁμοίους φρονήσει, καὶ ἀνδρείᾳ, καὶ λόγων δυνά-
μει, οὐκέτι ὁμοίους ἐν ταῖς τύχαις πεποίηκεν, ἀλλὰ τῷ μὲν
νέστορι, ᾧ θεὸς ὄλβον ἐπικλώσαι, γαμέοντί τε, γεινο-
μένῳ τε αὐτὸν μὲν λιπαρῶς γηρασκέμεν ἐν μεγάροισιν,
υἱέας αὖ πινυτούς τε, καὶ ἔγχεσιν εἶναι ἀρίστους.

Τὸν δὲ ὀδυσσέα καίπερ πολύμητιν ὄντα, καὶ ἀγχίνοον,
καὶ ἐχέφρονα, ἀποκαλεῖ δύστηνον πολλάκις. καὶ γὰρ τὸν
μέν, τὴν ἀνακομιδὴν πλεῦσαι ταχέως, καὶ ἀσφα-
λῶς. τὸν δέ, πλανηθῆναι χρόνῳ πολλῷ, καὶ πόνους, καὶ κιν-
δύνους ὑπομένειν ἄλλους μυρίους. οὕτως αἱρετὸν, καὶ μακάριόν
ἐστιν ὅταν τῇ ἀρετῇ συναιρομένη, καὶ μὴ ἀντιπράττουσα
ἡ τύχη παρῇ.

Πῶς δὲ ἡ κτῆσις τῆς ἀρετῆς οὐδὲν ἐς ὄφελος ἂν μὴ καὶ ἐνερ-
γῇ, φανερὸν ἐκ τούτων. ὅπου ὁ μὲν πάτροκλος ἐπιπλήσσων
τῷ ἀχιλλεῖ, λέγει αἰναρέτην. τί σευ ἄλλος ὀνήσεται ὀψί-
γονός περ, αἴ κε μὴ ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς. οὕ-
τω γὰρ προσεῖπε τὸν τῇ ἀπραξίᾳ ἀνωφελῆ ποιοῦντα τὴν
ἀρετήν. ὁ δὲ ἀχιλλεὺς τὴν ἀπραξίαν ταύτην ὀδυρόμε-
νός φησιν. ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρού-
ρης, τοῖος ἐών, οἷος οὔτις ἀχαιῶν χαλκοχιτώνων. ἄχθε-
ται γὰρ ὅτι τὴν ἀρετὴν κεκτημένος, οὐ κέχρηται αὐτῇ, ἀλ-
λὰ μηνίων τοῖς ἀχαιοῖς, οὐδέποτ' εἰς ἀγορὰν πωλέσκετο
κυδιάνειραν, ἀλλὰ φθινύθεσκε φίλον κῆρ αὖθι μένων,
ποθέεσκε δ' ἀϋτήν τε, πόλεμόν τε. καὶ γὰρ οὕτως ὁ φοῖνιξ ἐπαί-
δευε, μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων. ὅθεν
καὶ τεθνεὼς ἄχθεται τῇ ἀπραξίᾳ λέγων, βουλοίμην κ'
ἐπάρουρος ἐών, θητευέμεν ἄλλῳ ἀνδρὶ παρ' ἀκλήρῳ. ᾧ

μὴ βίοτος πολὺς εἴη· ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν. καὶ ἐπιφέρει τὴν αἰτίαν· οὐ γὰρ ἐγὼν ἐπαρωγὸς ὑπ' αὐγὰς ἠελίοιο, τοῖος ἐών, οἷός ποτ' ἀνὰ Τροίῃ εὐρέῃ.

Ἔτι τοίνυν οἱ Στωϊκοὶ φίλους θεῶν τοὺς ἀγαθοὺς ἄνδρας ἀποφαίνοντες, παρ' Ὁμήρου καὶ τοῦτο ἔλαβον, λέγοντος ἐπὶ τοῦ Ἀμφιαράου, ὃν περὶ κῆρι φίλει Ζεὺς αἰγίοχος, καὶ Ἀπόλλων· καὶ ἐπὶ τοῦ Ὀδυσσέως, χαῖρε δ' Ἀθηναίη πεπνυμένῳ ἀνδρὶ δικαίῳ. ἔστι δὲ τῶν αὐτῶν φιλοσόφων δόγμα, καὶ τὸ διδακτὴν εἶναι τὴν ἀρετήν, ἔχουσαν μὲν ἀρχὴν τὴν εὐγένειαν. ὃ καὶ Ὅμηρός φησι, τοίου γὰρ πατρός, ὃ καὶ πεπνυμένα βάζεις· ὑπὸ δὲ παιδείας, ἐς τὸ τέλειον προαγομένην.

Ἔστι γὰρ ἀρετῆς ἐπιστήμη τὸ ὀρθῶς βιοῦν· τουτέστιν, ὧν τοὺς εὖ βιωσομένους πράσσειν προσήκει. καὶ ταῦτα οὖν ἐστι παρ' Ὁμήρῳ. λέγει γάρ, νήπιον οὔπω εἰδόθ' ὁμοιΐου πολέμοιο, οὐδ' ἀγορέων. καὶ ἐν ἄλλοις, οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλός. καὶ ὁ Φοῖνιξ φησὶν ἐπὶ τοῦ Ἀχιλλέως· τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα, μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.

Ἐπεὶ γὰρ ὁ βίος ἐκ πράξεων, καὶ λόγων συνέστηκε, τούτων φησὶ διδάσκαλον ἑαυτὸν τοῦ νεανίσκου γεγονέναι. ἐκ δὲ τῶν εἰρημένων δηλονότι, πᾶσαν ἀρετὴν ἀποφαίνει διδακτήν. οὕτω μὲν οὖν πρῶτος Ὅμηρος ἔν τε ἠθικοῖς, καὶ φυσικοῖς φιλοσοφεῖ.

Ἔχεται δὲ τῆς αὐτῆς θεωρίας, καὶ ἀριθμητική, καὶ μουσική, ἃς καὶ Πυθαγόρας διαφερόντως ἐτίμησεν. ἴδωμεν οὖν εἰ καὶ τούτων ἐστὶ παρὰ τῷ ποιητῇ λόγος, ἀλλὰ μὴν πλεῖστος· ὀλίγα δὲ ἐκ πολλῶν παρατεθέντα ἐξαρκέσει.

Ὁ γὰρ Πυθαγόρας τοὺς ἀριθμοὺς μεγίστην δύναμιν ἔχειν ἡγούμενος, καὶ πάντα ἐς ἀριθμοὺς ἀναφέρων τῶν τε ἄστρων

τὰς περιόδους, καὶ τῶν ζώων τὰς γενέσεις, δύο τὰς ἀνωτάτω ἀρχὰς ἐλάμβανε, τὴν μὲν ὡρισμένην, μονάδα, τὴν δὲ ἀόριστον, δυάδα καλῶν· τὴν μὲν, ἀγαθῶν, τὴν δὲ, κακῶν οὖσαν ἀρχήν· ἡ μὲν γὰρ τῆς μονάδος φύσις ἐγγενομένη τῷ μὲν περιέχοντι, εὐκρασίαν· ψυχαῖς δὲ ἀρετήν, σώματι δὲ, ὑγίειαν· πόλεσι δὲ, καὶ οἴκοις, εἰρήνην, καὶ ὁμόνοιαν παρέχει· πᾶν γὰρ ἀγαθὸν, συμφωνίας οἰκεῖόν ἐστιν· ἡ δὲ τῆς δυάδος, πᾶν τοὐναντίον, ἀέρι, χειμῶνα, ψυχαῖς, κακίαν, σώμασι, νόσους, πόλεσι δὲ, καὶ οἰκείαις, στάσεις, καὶ ἔχθρας ἐγέννησε.

Πᾶν γὰρ κακὸν ἐκ διαστάσεως, καὶ διαφορᾶς γίνεται. ὅθεν καὶ τῶν ἐφεξῆς ἀριθμῶν, τὸν μὲν ἄρτιον, ἐνδεᾶ, καὶ ἀτελῆ, τὸν δὲ περιττὸν, πλήρη τε, καὶ τέλειον ἀπέφηνε· ὅτι μιγνύμενός τε πρὸς τὸν ἄρτιον, ἀεὶ τὴν ἑαυτοῦ δύναμιν διασώζει. τοῦ περιττοῦ καὶ ἐν τούτοις ἐπικρατοῦντος, ἐὰν τῷ τε συντιθέμενος γεννᾷ τὸν ἄρτιον· γόνιμος γάρ ἐστι, καὶ ἔχει δύναμιν ἀρχῆς, καὶ διαίρεσιν οὐκ ἐπιδέχεται, ἀεὶ τῆς μονάδος ἐν αὐτῷ περιούσης. ὁ δὲ ἄρτιος, οὔτε γεννᾷ ποτε τὸν περιττὸν συντιθέμενος ἑαυτῷ, οὔτε ἐστὶν ἀδιαίρετος.

Καὶ Ὅμηρος τοίνυν τήν τε τοῦ ἑνὸς φύσιν, ἐν τῇ τοῦ ἀγαθοῦ μοίρᾳ, καὶ τὴν τῆς δυάδος ἐν τῇ τοῦ κακοῦ τιθεὶς φαίνεται πολλάκις, ἐνηέα τὸν ἀγαθὸν λέγων πολλάκις, καὶ ἐνήην τὴν τοιαύτην διάθεσιν, δύην δὲ τὴν κάκωσιν· καὶ ὅτι οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω· καὶ μήτε ἐν πολέμοις δίχα βάζειν, μήτ' ἐνὶ βουλῇ, ἀλλ' ἕνα ἔχοντας νόον, καὶ ἐπίφρονα βουλήν. ἀεὶ δὲ τῷ περιττῷ ἀριθμῷ χρῆται ὡς κρείσσονι. καὶ κατὰ τὸν σύμπαντα κόσμον πέντε μοίρας ἔχοντα ποιῶν, τὰς τρεῖς τούτων οὔσας μέσας διαιρεῖ· τριχθὰ δὲ πάντα δέδασται· ἕκαστος δ' ἔμμορε τιμῆς. διὸ Ἀριστοτέλης, πέντε εἶναι τὰ στοιχεῖα ἐνόμισεν, ὡς τοῦ

τριαδικοῦ, καὶ τελείου, ἐν παντὶ τὸ κράτος ἔχοντος. καὶ τοῖς μὲν οὐρανίοις δαίμοσι τὰ τριαδικὰ ἀπονέμει· ὅτε μὲν νέστωρ τῷ ποσειδῶνι θύει ἐννεάκις, ἐννέα ταύρους, καὶ τὸν ὀδυσσέα θύειν κελεύει ὁ τειρεσίας ἀρνειόν, ταῦρόν τε συῶν τ' ἐπιβήτορα κάπρον. ὁ δὲ ἀχιλλεὺς τῷ πατρόκλῳ ἐναγίζει πάντα ἄρτια· ἵππους μὲν τέσσαρας, δώδεκα δὲ τρώων μεγαθύμων υἱέας ἐσθλούς, καὶ ἐννέα κυνῶν ὄντων, τοὺς δύο ἐμβάλλει τῇ πυρᾷ, ἵνα τοὺς ἑπτὰ ἑαυτῷ ἀπολίπηται. καὶ ἐν πολλοῖς τῷ τῶν τριῶν, καὶ πέντε, καὶ ἑπτὰ ἀριθμῷ χρῆται. μάλιστα δὲ τῷ τῶν ἐννέα ὡς νομίζω ὁ γέρων, τοὶ δ' ἐννέα πάντες ἀνέσταν. καὶ ἐννέωροι γάρ τοίγε, καὶ ἐννεαπήχεες ἦσαν εὖρος· ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι. καὶ ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο. καὶ ἐννῆμαρ ξείνισσεν, καὶ ἐννέα βοῦς ἱέρευσε.

Τί δή ποτ' οὖν ἐστὶν ὁ τῶν ἐννέα ἀριθμὸς τελειότατος; ὅτι ἐστὶν ἀπὸ τοῦ πρώτου περιττοῦ τετράγωνος. καὶ τριαδάκις τριάδος εἰς τρεῖς διαιρούμενος τριάδας, ὧν ἑκάστη πάλιν εἰς τρεῖς μονάδας διαιρεῖται. οὐ μόνον δὲ τὴν δύναμιν τῶν ἀριθμῶν, ἀλλὰ καὶ τὴν λογιστικὴν μέθοδον ὑπέδειξεν. ἐν μὲν τῷ καταλόγῳ ποιήσας, τῶν μὲν πεντήκοντα νέες κίον· ἐν δὲ ἑκάστῃ, κοῦροι βοιωτῶν ἑκατὸν, καὶ εἴκοσι βαῖνον· καὶ πάλιν, πεντήκοντ' ἔσαν ἄνδρες. ἐξ ὧν λογίζεσθαι πάρεστιν, ὅτι τῶν νεῶν πασῶν οὐσῶν ἐγγὺς χιλίων διακοσίων, καὶ ἐχουσῶν ἐξ ἑκατὸν ἀνδρῶν, ὁ σύμπας ἀριθμὸς δώδεκα που μυριάδων γίνεται. πάλιν δὲ ἐπὶ τῶν τρώων φήσας, χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ καίετο· πὰρ δὲ ἑκάστῳ, πεντήκοντ' ἔσαν ἄνδρες, παρέχει λογίζεσθαι, ὅτι ἦσαν πεντακισμύριοι· ἄνευ τῶν συμμάχων. τὴν δὲ μουσικὴν οἰκειοτάτην οὖσαν τῇ ψυχῇ, καθότι ἐστὶν ἁρμονία κεκραμένη ἐκ διαφόρων ἀρχῶν, καὶ τοῖς μέλεσι, καὶ ῥυθμοῖς τότε

ἐκλελυμένον αὐτοῖς ἐπιτείνουσαν, καὶ τὸ σφοδρὸν ἀνιεῖσαν, οἵ τε πυθαγορικοὶ διὰ σπουδῆς εἶχον, καὶ πρὸ αὐτῶν ὅμηρος· καὶ ἐγκώμιον μὲν αὐτῆς, ἐπὶ τῶν σειρήνων διεξέρχεται, ὧν καὶ ἐπιλέγει· ἀλλ' ὅγε τερψάμενος νεῖται, καὶ πλείονα εἰδώς. ἄλλοτε δ' ἐν ταῖς εὐωχίαις τὴν κιθάραν παραλαμβάνει, ὡς καὶ παρὰ τοῖς μνηστῆρσι, φόρμιγξ, ἥν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην. καὶ παρ' ἀλκινόῳ ὁ κιθαρῳδὸς ἀνεβάλλετο καλὸν ἀείδειν. καὶ ἐν γάμοις αὐλοί· φόρμιγγές τε βοὴν ἔχον· καὶ ἐν ἔργοις ὅπου ζυγωμένης ὀπώρας παῖς φόρμιγγι λιγείῃ, ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδεν. καὶ ἐν πολέμῳ· αὐλῶν, συρίγγων τ' ἐνοπὴν ἀκούεσθαι λέγει· οὐδὲν δ' ἧσσον καὶ εἰς πένθη παραλαμβάνει τὴν μουσικήν, θρήνων ἐξάρχους ἀοιδοὺς ποιῶν, ὡς τῇ λειότητι τῶν μελῶν τὴν βαρύτητα τῆς ψυχῆς καταγγέλλοντα. οὐκ ἄδηλον δὲ ὅτι διπλῆ ἐστιν ἡ μελῳδία· ἡ μὲν, ἐν τῇ φωνῇ, ἡ δέ, ἐν ὀργάνοις, τοῖς τε ἐμπνευστοῖς, τοῖς τε ἐντατοῖς. τῶν δ' ἐν αὐτῇ φθόγγων, ὁ μέν, ἐστὶ βαρύς, ὁ δ', ὀξύς. καὶ τούτων δὲ τὰς διαφοράς, ὅμηρος ἔγνω. ὃς γυναῖκας μέν, καὶ παῖδας, καὶ γέροντας, ὀξυφώνους ποιεῖ διὰ τὸ λεπτὸν τοῦ πνεύματος. τοὺς δὲ ἄνδρας, βαρυφώνους, ἔν τε ἄλλοις, καὶ ἐν τούτοις. τῷ δὲ βαρὺ στενάχοντι, παρίστατο πότνια μήτηρ· ὀξὺ δὲ κωκύσασα, κάρη λάβε παιδὸς ἑοῖο. καὶ πάλιν, ὡς ὁ βαρὺ στενάχων, ἐπ' ἀργείοισι μετηύδα. οἱ δὲ γέροντες τέττιξιν ἐοικότες, ζώοις ὀξυφώνοις ἰσάζονται· καὶ ἐν τοῖς ὀργάνοις δέ, αἱ χορδαὶ ὅσαι λεπταί εἰσι, καὶ συντόνως κινούμεναι, ῥᾳδίως τέμνουσι τὸν ἀέρα. ὅθεν τὸν ὀξὺν φθόγγον ἀποτελοῦσιν· αἱ δὲ παχεῖαι, βραδεῖαν ἔχουσαι τὴν κίνησιν, ἠχοῦσι βαρύν. καθ' ὃν λόγον καὶ ὅμηρος τὴν μάστιγα, λιγυρὴν προσηγόρευσεν, ἐπεὶ λεπτὴ οὖσα, ὀξὺν ἦχον ἀποδίδωσι. ταῦτα μὲν

ὅσα περὶ τῆς παρ' ὁμήρῳ μουσικῆς.

Ἐπεὶ δὲ ἐν τούτοις καὶ πυθαγόρου ἐμνημονεύσαμεν, ᾧ μάλιστα ἤρεσκεν ἡ ἐχεμυθία, καὶ τὸ σιγᾶν, ἃ μὴ χρὴ λέγειν, θεασώμεθα, εἰ καὶ ὅμηρος ταύτην ἔχει τὴν γνώμην. ἐπί τε γὰρ τῶν παροινούντων ἔφη· καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον· καὶ τῷ θερσίτῃ ἐπιπλήττει· θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητὴς, ἴσχεο· καὶ τοῦ ἰδομενέως καθαπτόμενος ὁ αἴας, λέγει· αἰεὶ μύθοις λαβρεύεαι, οὐδέ τί σε χρὴ λαβραγόρην ἔμμεναι· καὶ τῶν στρατευμάτων εἰς μάχην συνιόντων, τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς· οἱ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες ἀχαιοί. βαρβαρικὸν γὰρ ἡ κραυγὴ, ἑλληνικὸν δὲ ἡ σιωπή. διὸ καὶ τοὺς φρονιμωτάτους ἐγκρατεστάτους γλώσσης πεποίηκε, καὶ τὸν ὀδυσσέα, τῷ υἱῷ διακελευόμενον· εἰ ἐτεόν γ' ἐμός ἐσσὶ, ἐμοὶ δέ σε γένατο μήτηρ, μήτέ τι λαέρτης ἴστω τόδε, μήτε συβώτης, μήτέ τις οἰκήων, μήτ' αὐτὴ πηνελόπεια· καὶ πάλιν αὐτῷ παραινεῖ· σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε.

Τοιαῦτα μὲν δὴ τῶν ἐνδόξων φιλοσόφων, τὰ ἐξ ὁμήρου τὴν ἀρχὴν ἔχει δόγματα. εἰ δὲ δεῖ καὶ τῶν ἰδίας τινὰς αἱρέσεις ἑλομένων μνημονεῦσαι, εὕροι μὲν ἄν κἀκείνους, παρ' ὁμήρου τὰς ἀφορμὰς λαβόντας. δημόκριτον μὲν, τὰ εἴδωλα ποιήσαντα ἐξ ἐκείνων· αὐτὰρ ὁ εἴδωλον τεῦξ' ἀργυρότοξος ἀπόλλων. ἄλλους δὲ πλανηθέντας, οἷς ἐκεῖνος οὐχ ἑπόμενος, ἀλλὰ πρὸς τὸν παραπίπτοντα καιρὸν ἁρμοζόμενος, περιέθηκεν. ἐπεὶ γὰρ ὁ ὀδυσσεὺς παρ' ἀλκινόῳ κατεχόμενος, ἡδυπαθείᾳ καὶ τρυφῇ κεχρημένῳ πρὸς χάριν αὐτῷ διαλεγόμενος ἔφη· οὐ γάρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι, ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα· δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουά

ζονται

ζονται ἀοιδοῦ ἥμενοι ἑξείης. παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου, καὶ κρειῶν, μέθυ δ᾽ ἐκ κρητῆρος ἀφύσσων οἰνοχόος
φορέῃσι, καὶ ἐγχείῃ δεπάεσσι. τοῦτό τί μοι κάλλιστον ἐνὶ
φρεσὶν εἴδεται εἶναι· τούτοις παραχθεὶς καὶ ἐπίκουρος, τὴν
ἡδονὴν τέλος εὐδαιμονίας ἐνόμισε. καὶ ἐπεὶ αὐτὸς οὗτος
ὁ ὀδυσσεὺς ποτὲ μὲν οὔλῃ, καὶ ἁπαλῇ χλανίδι ἠμπίσχε-
το, ποτὲ δὲ ῥακίοις, καὶ πήραις· καὶ νῦν μὲν τῇ καλυψοῖ
συνανεπαύετο, νῦν δὲ ὑπὸ ἴρου, καὶ μελανθίου περιυβρί-
ζετο, ταύτην εἰκόνα τοῦ βίου παραλαβὼν ἀρίστιππος, καὶ
πενίᾳ, καὶ πόνοις συνηνέχθη ἐρρωμένως, καὶ ἡδονῇ ἀφει-
δῶς ἐχρήσατο.

Τῆς δὲ ὁμήρου σοφίας κἀκεῖνα καταμαθεῖν ἔστι δόγμα-
τα ὅτι καλὰ, καὶ πολλὰ σοφῶν ἀνδρῶν ἀποφθέγματα
προανεφώνησεν. οἷον τό, ἕπου θεῷ. ὅς κε θεοῖς ἐπιπείθη-
ται, μάλα τ᾽ ἔκλυον αὐτοῦ. καὶ μηδὲν ἄγαν. καί δ᾽ ἄλλῳ
νεμεσῶ, ὅς κ᾽ ἔξοχα μὲν φιλέῃσιν, ἔξοχα δ᾽ ἐχθαίρῃσιν.
ἀμείνω δ᾽ αἴσιμα πάντα. καὶ ἐγγύα πάρα δ᾽ ἄτα. δειλαί
τοι δειλῶν γε, καὶ ἐγγύαι ἐγγυάασθαι. καὶ τὸ τοῦ πυθαγόρου
πρὸς τὸν πυθόμενον, τίς ἐστι φίλος, ῥηθέν, ἄλλος ἐγώ,
ἶσον ἐμῇ κεφαλῇ.

Ἔστι δὲ τῆς αὐτῆς ἰδέας τῶν ἀποφθεγμάτων καὶ ἡ καλου-
μένη γνώμη, ἥπερ ἐστὶν ἀπόφασις καθολική, περὶ τῶν
κατὰ τὸν βίον λόγῳ συντόμῳ. καὶ τούτῳ δὴ χρησαμένων
πάντων ποιητῶν, καὶ φιλοσόφων, καὶ λογογράφων, καὶ
γνωμικῶς τινα ἀποφαίνεσθαι ἐπιτηδευσάντων, πρῶτος
ὅμηρος πολλάς, καὶ ἀγαθὰς γνώμας ἐξήνεγκε δι᾽ ὅλης
τῆς ποιήσεως, τοῦτο μὲν ἀποφαινόμενος, οἷον ἐστὶν ὁ βού-
λεται παραστῆσαι, ὡς ὅταν εἴπῃ, κρείσσων γὰρ βασιλεύς,
ὅτε χώσεται ἀνδρὶ χέρηϊ. τοῦτο δὲ ὡς δέον πράσσειν τι.
οἷον, οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.



Landesbibliothek Oldenburg

Πολλὰς δὲ γνώμας, καὶ παραινέσεις ἀγαθὰς Ὁμήρου ἐξενεγ-
κόντος παρέφρασαν οὐκ ὀλίγοι τῶν μετ' αὐτόν· ὧν τινα
παραδείγματα οὐκ ἄκαιρον ἐπιπαραθέσθαι, οἷον ἐπὶ τὸ
Ὁμήρου· νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν, ἀφρονέοντες, ἢ ἔτι
μιν μέμαμεν καταπαυσέμεν ἆσσον ἰόντες, ἢ ἔπει, ἠὲ
βίῃ, ὃ δ' ἀφήμενος οὐκ ἀλεγίζει, οὐδ' ὄθεται· φησὶ γὰρ ἐν
ἀθανάτοισι θεοῖσι κάρτεΐ τε, σθένεΐ τε, διακριδὸν εἶναι
ἄριστος· τῷ ἔχεθ' ὅ, ττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκά-
στῳ. παρὰ τοῦτο δὲ τὸ πυθαγορικόν, ὅσσα τε δαιμονίαι-
σι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν, ὧν ἂν μοῖραν ἔχῃς, πρά-
ως φέρε, μὴ δ' ἀγανάκτει· καὶ ἐπὶ τούτοις, τὸ εὐριπίδου·
τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών· μέλει γὰρ αὐ-
τοῖς οὐδέν· ἀλλ' ὁ τυγχάνων τὰ πράγματ' ὀρθῶς ἂν τιθῇ,
πράσσει καλῶς· πάλιν Ὅμηρος μέν φησι· τέκνον ἐμόν,
τέο μέχρις ὀδυρόμενος, καὶ ἀχεύων, σὴν ἔδεαι κραδίην;
ὁ δὲ πυθαγόρας, φείδεο τῆς ζωῆς, μή μιν καταθυμοβο-
ρήσῃς· ἔτι Ὁμήρου εἰπόντος, τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονί-
ων ἀνθρώπων, οἷον, ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε,
θεῶν τε,

Ἀρχίλοχος τά τε ἄλλα αὐτοῦ μιμούμενος, καὶ τοῦτο μὲν πα-
ρέφρασεν εἰπών· τοῖς ἀνθρώποισι θυμὸς γλαύκε λεπτί-
νεω παῖ· γίνεται θνητοῖς ὁποίην Ζεὺς ἐφ' ἡμέρην ἄγει· καὶ
ἐν ἄλλοις Ὁμήρου εἰπόντος, ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πο-
λεμήϊα ἔργα, ἄλλῳ δ' ἐν στήθεσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκονται ἄνθρωποι, καί τε
πόλεις ἐσάωσε, μάλιστα δὲ αὐτὸς ἀνέγνω.

Εὐριπίδης παρὰ τοῦτο ἐποίησε· γνώμαις γὰρ ἀνδρὸς εὖ
μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος· εἰς δ' αὖ πόλεμον ἰσχύει
μέγα· σοφὸν γὰρ ἓν βούλευμα, τὰς πολλὰς χεῖρας νικᾷ·
σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν. ἃ δὲ παρακελεύ-

μενον, τῷ ἑταίρῳ τὸν Ἰδομενέα πεποίηκεν· ὦ πέπον, εἰ μὲν δὴ πόλεμον περὶ τόνδε φυγόντε ἀεὶ δὴ μέλλοιμεν ἀγήρω τ', ἀθανάτω τε ἔσεσθαι, οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην, οὔτε κέ σε στέλλοιμι μάχην ἐς κυδιάνειραν. νῦν δ' ἔμπης γὰρ κῆρες ἐφεστᾶσι θανάτοιο μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν, οὐδ' ὑπαλύξαι ἴομεν· ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.

Αἰσχύλος μὲν δεύτερος λέγων, οὕτως ἔφη· ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου, οὔτ' ἐν ἑστίᾳ τις ἥμενος παρ' ἑστίᾳ, φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον. ἐν δὲ πεζῇ λέγει Δημοσθένης οὕτω· πέρας μὲν γὰρ ἐστὶν ἅπασιν ἀνθρώποις τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ. δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, φέρειν δ' ὅ,τι ἂν ὁ θεὸς διδῷ γενναίως. πάλιν ὑπὸ τοῦ Ὁμήρου· οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα. Σοφοκλῆς παρέφρασεν εἰπών· θεοῦ τὸ δῶρον τοῦτο· χὴ δ' ὅσ' ἂν θεοὶ διδῶσι, φεύγειν μηδὲν ὦ τέκνον ποτέ. παρ' ἐκείνου δὲ τοῦ, καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή, Θεόκριτος εἶπεν· οὕνεκά οἱ γλυκὺ μοῦσα, κατὰ στόματος χέε νέκταρ. πῶς δὲ καὶ Ἄρατος παρέφρασε, τὸ μέν, οἴη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο, εἰπὼν ἄρκτου κυανέου πεφυλαγμένος ὠκεανοῖο, τὸ δέ, θυμὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται εἰπὼν ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει. καὶ περὶ μὲν τούτων, ἅλις.

Ο δὲ πολιτικὸς λόγος, ἐστὶν ἐν τῇ ῥητορικῇ τέχνῃ, ἧς ἐντὸς Ὅμηρος πρῶτος γέγονεν ὡς φαίνεται. εἰ γὰρ ἐστὶν ἡ ῥητορικὴ δύναμις, τοῦ πιθανῶς λέγειν, τίς μᾶλλον Ὁμήρου ἐν τῇ δυνάμει ταύτῃ καθέστηκεν; ὃς τῇ τε μεγαλοφωνίᾳ πάντας ὑπεραίρει, ἔν τε τοῖς διανοήμασι τὴν ἴσην τοῖς

λόγοις ἰσχὺν ἐπιδείκνυται.

Καὶ πρῶτόν γε τῆς τέχνης ἡ οἰκονομία. ἣν δι' ὅλης τῆς ποιήσεως παρίστησι, καὶ μάλιστα ἐν ταῖς ἀρχαῖς τῶν πραγμάτων. οὐ γὰρ πόρρωθεν ἐμβαλὼν, τὴν ἀρχὴν τῆς Ἰλιάδος ἐποιήσατο, ἀλλὰ καὶ καθ' ὃν χρόνον αἱ πράξεις ἐνεργότεραι, καὶ ἀκμαιότεραι κατέστησαν. τὰ δὲ τούτων ἀργότερα, ὅσα ἐν τῷ παρελθόντι χρόνῳ ἐγένοντο, συντόμως ἐν ἄλλοις τόποις παρεδιηγήσατο. τὸ δὲ αὐτὸ καὶ ἐν τῇ Ὀδυσσείᾳ πεποίηκεν, ἀρξάμενος μὲν ἀπὸ τῶν τελευταίων τῆς πλάνης τοῦ Ὀδυσσέως χρόνων, ἐν οἷς καιρὸς ἦν ἤδη καὶ τὸν Τηλέμαχον εἰσάγειν, καὶ τὴν τῶν μνηστήρων ὕβριν ἐμφανίζειν, τὰ δὲ πρὸ τούτων ὅσα τῷ Ὀδυσσεῖ ἀλωμένῳ συνέπεσεν αὐτὸν παράγει διηγούμενον, ἃ καὶ ἀγνότερα, καὶ πιθανώτερα ἔμελλε φαίνεσθαι, ὑπ' αὐτοῦ τοῦ παθόντος λεγόμενα. ἀλλὰ τοίνυν χρωμένων τῶν ῥητόρων πάντων τοῖς προοιμίοις ὑπὲρ τοῦ προσεκτικώτερον, ἢ εὐνούστερον ποιεῖν τὸν ἀκροατήν,

Αὐτὸς μὲν ὁ ποιητὴς κέχρηται προοιμίοις, τοῖς μάλιστα κινῆσαι, καὶ παράγεσθαι πρὸς τὴν ἀκρόασιν δυναμένοις, ἔν τε τῇ Ἰλιάδι προαναφωνῶν ὅτι μέλλει λέγειν ὅσα διὰ τὴν Ἀχιλλέως ὀργὴν, καὶ τοῦ Ἀγαμέμνονος ὕβριν, κακὰ τοῖς Ἕλλησι συνέβη. καὶ ἐν τῇ Ὀδυσσείᾳ, ὅσοις πόνοις, καὶ κινδύνοις περιπεσὼν ὁ Ὀδυσσεὺς, πάντων τῇ τῆς ψυχῆς συνέσει, καὶ καρτερίᾳ περιεγένετο, καὶ ἐν ἑκατέροις τῶν προοιμίων, τὴν μοῦσαν παρακαλεῖ, ἵνα θειοτέραν, καὶ μείζονα τὴν δόξαν τῶν λεγομένων παραστήσῃ. πολλὰ δὲ τῶν εἰσαγομένων ὑπ' αὐτοῦ προσώπων λέγοντα ποιῶν, ἢ πρὸς οἰκείους, ἢ φίλους, ἢ ἐχθροὺς, ἢ δήμους, ἑκάστῳ τὸ πρέπον εἶδος τῶν λόγων ἀποδίδωσιν, ὥσπερ ἐν ἀρχῇ πεποίηται αὐτῷ ὁ Χρύσης ἐν τοῖς πρὸς τοὺς Ἕλληνας λό-

γοις, χρησιμωτάτῳ προοιμίῳ κεχρημένος. συνάγεται γὰρ αὐτοῖς πρότερον κρατῆσαι τῶν πολεμίων, καὶ οἴκαδε ἀναστρέψαι, ἵνα τὴν παρ' αὐτῶν εὔνοιαν ἐπισπάσηται. ἔπειτα οὕτως ὑπὲρ τῆς παιδὸς παρακαλεῖ. ὁ δὲ ἀχιλλεὺς ἐπὶ τῇ ἀπειλῇ τοῦ ἀγαμέμνονος θυμούμενος, μιγνύει τὸν ὑπὲρ αὑτοῦ, καὶ τὸν ἑλλήνων λόγον, ἵνα κἀκείνους ἀνιάσαντας, εὐνουστέρους καταστήσῃ. πάντας τε ἐπὶ τὸν πόλεμον ἐστάλθαι, οὐκ ἰδίας τινὸς ἀπεχθείας ἕνεκα, ἀλλὰ εἰς χάριν αὐτοῦ τοῦ ἀγαμέμνονος, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ πολλὰ μὲν πεποιηκέναι ἑαυτόν. τὸ δὲ γέρας, οὐ παρὰ τούτων, ἀλλὰ παρὰ τοῦ κοινοῦ τῶν ἑλλήνων εἰληφέναι. οἷς ἀντιλέγων ὁ ἀγαμέμνων, οὐκ ἀπορεῖ ὅπως καὶ αὐτὸς θεραπεύσῃ τὸ πλῆθος. φήσαντος γὰρ τοῦ ἀχιλλέως ἀπελεύσεσθαι εἰς τὴν πατρίδα, δι' ἣν ἔπαθεν ὕβριν, οὐκ εἶπεν ἄπιθι, ἀλλὰ φεῦγε, τὸ ἁπλῶς ῥηθὲν, εἰς τὸ ἀδοξότερον μεταβαλών. καὶ ὅτι οὐ παρακαλῶ σε μένειν. πάρεισι γὰρ καὶ ἄλλοι, οἵ τιμῆς ἀξιώσουσί με. ἦν δὲ καὶ τοῦτο τοῖς ἀκούουσι κεχαρισμένον.

Καὶ ἐπὶ τούτοις εἰσάγεται ῥήτωρ ὁ νέστωρ. ὃν ἡδυεπῆ, καὶ λιγὺν ἀγορητὴν προσεῖπε, καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. οὗ μεῖζον ἐγκώμιον, οὐκ ἂν γένοιτο ῥήτορος. τί δὲ οὗτος διαπράττεται τῷ λόγῳ; ἄρχεται μὲν ἀπὸ προοιμίου, δι' οὗ μετάγνωσιν ἐμποιεῖν πειρᾶται τοῖς διαφερομένοις ἀριστεῦσιν, ἔλεγχον αὐτῶν παρασκευάζων, ὅτι μαχόμενοι παρέχουσιν ἀφορμὴν χαρᾶς τοῖς πολεμίοις. πρόεισι δὲ νουθετῶν ἑκάτερον, καὶ πείθεσθαι ἑαυτῷ, ὡς πρεσβυτέρῳ παραινῶν. καὶ ἐν τῷ σωφρονίζειν τὸν ἕτερον, κεχαρισμένα τῷ ἑτέρῳ λέγειν. τῷ μὲν γὰρ ἀγαμέμνονι παραινεῖ, μὴ ἀφαιρεῖσθαι τὸ δοθὲν τῷ πολλὰ κεκμηκότι γέρας. τῷ δὲ ἀχιλλεῖ, μὴ ἐρίζειν τῷ βασιλεῖ, προκρίνε-

μένῳ. καὶ πρέποντα ἑκατέρῳ ἔπαινον· τῷ μέν, ὡς πλεόνων βασιλεύοντι, τῷ δέ, ὡς πλέον ἰσχύοντι· τοῦτον τὸν τρόπον πραΰνειν αὐτοὺς ἐπιχειρεῖ.

Τί δέ, οὐχὶ καὶ ἐν τοῖς ἑξῆς ὁπότε εἶδε τὸν ὄνειρον ὁ ἀγαμέμνων, ἐλπίδας ἀγαθὰς αὐτῷ φέροντα παρὰ τοῦ διός, καὶ ὁπλίζειν τοὺς ἕλληνας παρακελευόμενον, ῥητορικῇ χρῆται τέχνῃ, τοὐναντίον οἷς βούλεται πρὸς τοὺς πολλοὺς λέγων, ἵνα πεῖραν τῆς ὁρμῆς αὐτῶν λάβῃ, καὶ μὴ ἐπαχθὴς ᾖ, πολεμεῖν ἀναγκάζων ὑπὲρ ἑαυτοῦ. ἀλλ' αὐτοὺς μὲν πρὸς χάριν λέγει. ἄλλος δέ τις τῶν πείθειν αὐτοὺς δυναμένων, προτρέπει μένειν, ὡς τοῦτο τῇ ἀληθείᾳ τοῦ βασιλέως θέλοντος. καὶ γὰρ ἐν οἷς δημηγορεῖ, ἐμφαίνει ὅτι τοὐναντίον βούλεται. ὁ γοῦν δεχόμενος τοὺς λόγους τούτους, ἐστὶν ὀδυσσεύς, παρρησίᾳ τῇ πρεπούσῃ χρώμενος. καὶ τοὺς μὲν ἀρίστους, λόγοις προσηνέσι πείθων, τοὺς δὲ ὑποδεεστέρους, καταπληκτικῶς ὑπείκειν τοῖς κρείττοσιν ἀναγκάζων. καὶ τὸ ἄτακτον, καὶ θορυβῶδες τῶν πολλῶν καταπαύσας, ἅμα πάντας πείθει λόγοις ἔμφροσι. μετρίως μὲν ὀνειδίσας, διότι οὐκέτι τελοῦσιν, ἃ ὑπέσχοντο, καὶ ἅμα συγγνώμης ἀξιώσας, ὅτι πολὺν χρόνον ἄπρακτοι μένοντες, τῶν φιλτάτων ἐστέρηνται. παρακλήσει δέ, καὶ ἐλπίδι τῇ ἐκ τῶν μαντειῶν, συμπείθων μένειν.

Ὁμοίως δὲ καὶ ὁ νέστωρ λόγους ἐξηλλαγμένους μέν, εἰς ταὐτὸ δὲ τείνοντας ποιούμενος, καὶ πλείονι παρρησίᾳ πρὸς τοὺς ἤδη μεμαλαγμένους χρώμενος, πείθει τὸ πλῆθος, καὶ τὴν αἰτίαν τῆς ὀλιγωρίας, εἰς ὀλίγους τοῦ μηδενὸς ἀξίους ἀναφέρων, τοὺς πολλοὺς ἐντρέπει. προστίθησι δὲ καὶ ἀπειλὴν τοῖς ἀπειθοῦσι, καὶ εὐθέως συμβουλεύει τῷ βασιλεῖ, ὅπως χρὴ καταλέγειν τὰ στρατιωτικὰ τάγματα.

Πάλιν ἡ ἐν ταῖς κατὰ τὸν πόλεμον πράξεσι τῶν ἑλλήνων,

τὰ μὲν, ἀτυχησάντων, τὰ δὲ, πταισάντων, καὶ ἐν φόβῳ καταστάντων, ὁ μὲν Διομήδης ἅτε τὸ ἐκ τῆς νεότητος θράσος, καὶ τὴν ἐκ τῆς ἀριστείας παῤῥησίαν ἔχων, πρὸ τοῦ ἐπιδείξασθαι τὴν ἀνδραγαθίαν, σιωπῆς ἀξιώσας τὸ παρὰ τοῦ βασιλέως ὄνειδος, τότε ἐπιπλήσσει τῷ ἀγαμέμνονι, ὡς ὑπὸ ἀνανδρίας συμβουλεύοντι φεύγειν, φησὶ γὰρ ἀτρείδη, σοὶ πρῶτα μαχέσομαι ἀφραδέοντι· ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ, σὺ δὲ μή τι χολωθῇς. ἐν οἷς ἅμα μὲν νουθετεῖν αὐτὸν ἐπιχειρεῖ· ἅμα δὲ τὴν παρ' αὐτοῦ ὀργὴν παραιτεῖται· καὶ τὰ μὲν φθάνοντα διαπεπρᾶχθαι ἑαυτῷ, ἀνεπαχθῶς ὑπομιμνήσκει λέγων· ταῦτα δὲ πάντα ἴσασ' ἀργείων, ἠμὲν νέοι, ἠδὲ γέροντες.

Εἰς δὲ τὰ ἑξῆς προτρέπει τοὺς ἕλληνας τεχνικῶς ἐγκωμιάζων αὐτούς· δαιμόνι' οὕτω που μάλα ἔλπεαι υἷας ἀχαιῶν, ἀπτολέμους τ' ἔμεναι, καὶ ἀνάλκιδας ὡς ἀγορεύεις· καὶ αὐτὸν τὸν ἀγαμέμνονα δυσωπεῖ, συγχωρῶν αὐτῷ εἰ βούλεται ἀπιέναι· τοὺς γὰρ ἄλλους ἐξαρκέσειν, ἢ κἂν πάντες φύγωσιν, αὐτόν γε σὺν τῷ ἑταίρῳ μένειν, καὶ μάχεσθαι, εἰπὼν νῶϊ δ' ἐγὼ σθένελός τε μαχησόμεθα. ὁ δὲ νέστωρ, τούτῳ μὲν γνώμης τε, καὶ πράξεως ἀρετὴν μαρτυρεῖ· ὅσα δὲ εἰς τέλος τῆς συμβουλῆς διαφέρει, ἑαυτὸν ὡς πρεσβύτερον δεῖν παραινεῖν ἀξιοῖ· καὶ ἐπέξεισι τῷ λόγῳ, τὴν πρὸς ἀχιλλέα πρεσβείαν παρασκευάζειν ἐπιχειρῶν.

Καὶ ἐν αὐτῇ δὲ τῇ πρεσβείᾳ, ποικίλαις τέχναις ποιεῖ χρωμένους τοὺς ῥήτορας· ὁ μὲν γὰρ ὀδυσσεὺς ἀρχόμενος τοῦ λόγου, οὐκ εὐθέως ἔφη, ὅτι ἀγαμέμνων μετεγνωκὼς ἐπὶ τῇ τῆς βρισηΐδος ἀφαιρέσει, τήν τε κόρην ἀποδίδωσι, καὶ δῶρα τὰ μέν, παραυτίκα πέμπει, τὰ δ' ὕστερον ἐπαγγέλλεται· οὐ γὰρ ἦν χρήσιμον, οἰδοῦντος ἔτι τοῦ θυμοῦ.

ταῦτα ὑπομιμνήσκειν, ἀλλὰ πρῶτον ἠθέλησεν ἐμβαλεῖν τὸν ἀχιλλέα εἰς οἶκτον τῶν ἑλληνικῶν ἀτυχημάτων, εἶτα εἰπὼν ὕστερον βουληθεὶς ἐπανορθώσασθαι τὰς συμφοράς, οὐκέτι δυνήσεται, μετὰ ταῦτα τῶν πηλέως παραινέσεων ἀνέμνησεν, ἑαυτοῦ μὲν ἀφαιρῶν τὸ ἐπαχθὲς, τῷ δὲ μᾶλλον οἷον ῥέπειν δυνάμενος προσώπῳ τῷ τοῦ πατρὸς περιθεὶς τὸν λόγον. καὶ ὅτε ἔδοξε πραότερον αὐτὸν εἶναι, τότε καὶ τῶν ἀγαμέμνονος δώρων ἐμνημόνευσε. καὶ πάλιν εἰς τὰς ὑπὲρ τῶν ἑλλήνων δεήσεις μετέβαλε τὸν λόγον. ὅτι εἰ καὶ δικαίως ἀγαμέμνων μέμφεται, καλὸν γοῦν σῶσαι τοὺς μηδὲν εἰς αὐτὸν ἐξημαρτηκότας.

E χρὴν γὰρ καὶ τὸν ἐπίλογον, μηδὲν τῶν λυπούντων ἔχειν τὸν ἀκούοντα. ἐπεὶ καὶ μάλιστα μνημονεύεται τὰ τέλη τῶν λόγων. ἡ δὲ τελευταία παράκλησις ἔχει τι καὶ διεγερτικὸν ἐπὶ τοὺς πολεμίους ὡς καὶ αὐτοῦ καταφρονοῦντας. νῦν κ' ἄν φησιν ἕλοις τὸν ἕκτορα, εἴ σου κατεναντίον σταίη, ἐπεὶ οὐδένα τῶν ἑλλήνων ἑαυτῷ φησιν εἶναι ὅμοιον. ὁ δὲ φοῖνιξ δεδοικὼς μὴ ἐνδεέστερον, ἢ προσῆκε χρῆται τῇ δεήσει, δάκρυα προΐεται. καὶ πρῶτον μὲν τῇ ὁρμῇ αὐτοῦ συντίθεται, φήσας μὴ ἀπολειφθήσεσθαι αὐτοῦ, εἰ ἀποπλέοι. τοῦτο γὰρ ἦν αὐτῷ κεχαρισμένον, καὶ τὴν αἰτίαν λέγει, ὅπως τρέφειν αὐτὸν ἐπιστεύθη παρὰ τοῦ πηλέως, νήπιον παραλαβὼν, καὶ διδάσκαλος ἔργων, καὶ λόγων εἶναι ἠξιώθη.

F αραδιηγεῖται δὲ καὶ τὰς ἐπὶ τῆς νεότητος ἁμαρτίας αὐτοῦ, ἐμφαίνων ὡς καὶ ἄβουλον ἡ τοιαύτη ἡλικία, καὶ προϊὼν οὐδὲν τῶν εἰς προτροπὴν παραλείπει πᾶσι τοῖς κεφαλαίοις ῥητορικῶς χρώμενος, ὅτι διηλλάχθαι καλὸν τῷ ἱκετεύοντι, καὶ δῶρα πέμποντι, καὶ πρέσβεις τοὺς ἀρίστους, κἀκείνων τιμιωτάτους ἀπεσταλκότι. καὶ ὅτι καὶ αὐτὸς

δίκαιός ἐστιν ἀκουσθῆναι τροφεύς γε ὤν, καὶ διδάσκαλος· καὶ ὅτι μεταγνώσεται προέμενος τὸν παρόντα καιρόν, καὶ παραδείγματι χρῆται τῷ κατὰ μελέαγρον διηγήματι· ὅτι κἀκεῖνος παρακαλούμενος ὑπὸ τῶν οἰκείων βοηθεῖν τῇ πατρίδι, οὐ συγκατέθετο, ἕως ὑπὸ τῆς ἀνάγκης τῶν καταλαβουσῶν τὴν πόλιν συμφορῶν, ἐπὶ τὸ ἀμύνειν ἐτράπετο. αἴας δὲ οἴκτου μὲν, καὶ ἱκεσίας, οὐδὲ ἐδεήθη· παῤῥησίᾳ δὲ χρησάμενος, καθελεῖν τὸ φρόνημα τοῦ ἀχιλλέως διέγνω· τὰ μὲν, εὐκαίρως ἐπιπλήττων, τὰ δὲ, συγγενῶς παρακαλῶν, ἵνα μὴ τελέως παροξύνῃ· οὕτω γὰρ ἥρμοζε τῷ τῆς ἀρετῆς μετειληφότι· πρὸς δὲ τούτων ἕκαστον ὁ ἀχιλλεὺς ἀποκρινάμενος, ἦθος γενναῖον ἅμα, καὶ ἁπλοῦν ἐμφαίνει. τοῖς μὲν γὰρ ἄλλοις ἐλεγκτικῶς ἅμα, καὶ μεγαλοφρόνως ἀντιλέγει, αἰτίας εὐλόγους τῆς ὀργῆς παριστάς· αἴαντι δὲ ἀπολογεῖται, καὶ ὀδυσσεῖ μὲν ἔφη ἀποπλεύσεσθαι τῇ ὑστεραίᾳ· καμπτόμενος δέ πως ταῖς φοίνικος δεήσεσι, βουλεύσεσθαί φησι περὶ τοῦ ἀπόπλου· ἐκνικηθεὶς δὲ ὑπὸ τῆς αἴαντος παῤῥησίας, ἐξομολογεῖται πᾶν, ὃ μέλλει ποιήσειν, ὅτι οὐ πρότερον ἔξεισιν ἐπὶ τὸν πόλεμον, πρὶν ἂν ὁ ἕκτωρ ἐπὶ τὰς σκηνὰς αὐτοῦ, καὶ τὰς ναῦς ἀφίκηται, τοὺς πολλοὺς τῶν ἑλλήνων ἀπεκτονώς. ἔνθα φησίν, ὅτι καίπερ ἐκθύμως μαχόμενον τὸν ἕκτορα παύσεσθαι νομίξω, καὶ γὰρ τοῦτο προειρημένον πρόσθεν ὑπὸ τοῦ ὀδυσσέως, περὶ τοῦ ἀντιστῆναι τῇ ὁρμῇ τοῦ ἕκτορος ἀντέθηκεν.

Εν δὲ τοῖς τοῦ φοίνικος λόγοις κἀκεῖνο παρίστησιν, ὅτι τέχνη ἐστὶν ἡ ῥητορική· φησὶ γὰρ τῷ ἀχιλλεῖ, διότι παρέλαβόν σε νήπιον, οὔπω εἰδόθ' ὁμοιΐου πολέμοιο, οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι, τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα. μύθων τε ῥητῆρ'

ἔμεναι, πρηκτῆρά τε ἔργων· ἐν οἷς καὶ τοῦτο δείκνυσιν, ὅτι ἡ τῶν λόγων δύναμις μάλιστα τοὺς ἄνδρας εὐκλεεῖς ἀπεργάζεται.

Ἔστι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τῆς ποιήσεως τόποις εὑρεῖν λόγους τῆς ῥητορικῆς τέχνης ἐχομένους· καὶ κατηγορίας, καὶ ἀπολογίας ὑποδείκνυσι τρόπον ἔν τε ἄλλοις, καὶ ἐν οἷς ὁ Ἕκτωρ καθάπτεται τοῦ ἀδελφοῦ, ὀνειδίζων αὐτῷ δειλίαν, καὶ ἀκολασίαν, καὶ ὅτι τοιοῦτος ὤν, ἠδίκει πόρρω ἀπῳκισμένους· ὅθεν αἴτιος κακῶν τοῖς οἰκείοις ἐγένετο. καὶ Ἀλέξανδρος ἐκλύει τὸν θυμὸν τοῦ ἀδελφοῦ δικαίως ἐπιπλήσσεσθαι συγκατατιθέμενος. καὶ τῷ ὑποσχέσθαι τὴν πρὸς τὸν Μενέλαον μάχην, ἀπολυόμενος τὸ ἔγκλημα τῆς δειλίας.

Καὶ ὅτι μὲν τεχνίτης λόγων Ὅμηρος, πᾶς τις ἂν ἐπαι- φρονῶν· δῆλα γὰρ καὶ τὰ ἄλλα ἐξ αὐτῆς τῆς ἀναγνώσεως. οὐκ ἠμέλησε δὲ οὐδὲ χαρακτηρίσαι τοὺς ῥήτορας. τὸν μὲν γὰρ Νέστορα ἡδύν, καὶ προσηνῆ τοῖς ἀκούουσιν εἰσάγει· τὸν δὲ Μενέλαον, βραχυλόγον, καὶ ἄχαριν, καὶ τοῦ προκειμένου τυγχάνοντα. τὸν δὲ Ὀδυσσέα, πολλῇ, καὶ πυκνῇ τῇ δεινότητι τῶν λόγων κεχρημένον· ταῦτα γὰρ τοῖς δυσὶ τούτοις ἥρωσιν, ὁ Ἀντήνωρ μαρτυρεῖ ἀκούσας αὐτῶν, ὁπότε πρεσβεύοντες ἀφίκοντο εἰς τὴν Ἴλιον.

Καὶ ταύτας τὰς ἰδέας τῶν λόγων Ὅμηρος παρίστησιν, αὐτὸς ἐν τῇ ποιήσει δείξας ἁπάσῃ. οἶδε δὲ καὶ τὴν ἀντίθεσιν τῶν λόγων ἀπὸ τῶν ἐναντίων ἐπὶ παντὸς πράγματος τιθεμένων, καὶ τὸ αὐτὸ κατασκευαζόντων, καὶ ἀναιρούντων διὰ τὴν εὐπορίαν τῆς λογικῆς ἕξεως· φησὶ γὰρ στρεπτὴ δὲ γλῶσσα ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι· παντοί-ων δὲ πολὺς νομὸς ἔνθα, καὶ ἔνθα· ὁπποῖον κ' εἴπησθα ἔπος, τοῖον κ' ἐπακούσῃς.

Ἐπίσταται δὲ ταῦτα καὶ διὰ πολλῶν λέγειν, καὶ δι' ὀλίγων

ἐπαναλαμβάνειν, ὅπερ καλεῖται ἀνακεφαλαίωσις, καί ἐστιν ἐν χρήσει παρὰ τοῖς ῥήτορσιν, ὁπόταν δέῃ πολλὰ πράγματα εἰρημένα ἀναμνῆσαι συντόμως. ἃ γὰρ διηγήσατο ὁ Ὀδυσσεὺς παρὰ τοῖς Φαίαξιν ἐν τέτταρσι ῥαψῳδίαις, ταῦτα πάλιν διὰ βραχέων διέξεισιν ἐν τούτοις· ἤρξατο δ' ὡς πρῶτον Κίκονας δάμασ', αὐτὰρ ἔπειτα, καὶ τὰ ἑξῆς.

Τοῦ δὲ πολιτικοῦ λόγου ἔχεται καὶ ἡ τῶν νόμων ἐπιστήμη, καὶ οὐδὲ ταύτης ἐκτὸς τὸν Ὅμηρον εὕροιμεν ἄν. εἰ μὲν οὖν καὶ τὸ ὄνομα τοῦ νόμου ἦν κατ' αὐτὸν ἐν χρήσει, οὐκ ἔστι σαφῶς διορίσασθαι. οἱ μὲν γάρ φασι δῆλον αὐτὸν εἶναι, εἰδότα τοὔνομα τοῦ νόμου ἐν τῷ εἰπεῖν ἀνθρώπων ὕβριν, καὶ εὐνομίην, ἐφορῶντες. Ἀρίσταρχος δ' ᾠήθη τὴν εὐνομίαν εἰρῆσθαι, παρὰ τὸ εὖ νέμεσθαι. καίτοι καὶ ὁ νόμος λέγεσθαι ἔοικεν, ἀπὸ τοῦ νέμειν τὰ ἴσα πᾶσιν, ἢ τὸ κατ' ἀξίαν ἑκάστῳ. ὅτι δὲ δύναμιν τῶν νόμων οἶδεν, εἰ μὴ καὶ ἐν γραφαῖς, ἀλλ' ἐν ταῖς γνώμαις τῶν ἀνθρώπων φυλασσομένην, ἐν πολλοῖς παρίστησι. τὸν γὰρ Ἀχιλλέα ποιεῖ ὑπὲρ τοῦ σκήπτρου λέγοντα, νῦν αὖτέ μιν υἷες Ἀχαιῶν ἐν παλάμαις φορέουσι δικασπόλοι, οἵ τε θέμιστας πρὸς Διὸς εἰρύαται. θέμιστες γάρ, καὶ θεσμοί, οἱ νόμοι, ὧν τὸν Δία εἰσηγητὴν παραδίδωσιν. ᾧ καὶ τὸν Μίνωα τὸν τῶν Κρητῶν βασιλέα φησὶν ὁμιλεῖν. ἡ δ' ὁμιλία, νόμων μάθησις ἦν, ὡς καὶ Πλάτων μαρτυρεῖ. σαφῶς δὲ καὶ ἐν ἐκείνοις δηλοῖ, ὅτι χρὴ νόμοις ἕπεσθαι, καὶ μὴ ἀδικεῖν, τῷ, μήτις ποτε πάμπαν ἀνὴρ ἀθέμιστος εἴη, ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχειν, ὅττι διδοῖεν.

Πρῶτος τοίνυν Ὅμηρος τὰ τῆς πολιτείας διεῖλεν. ἐν γὰρ τῇ ἀσπίδι, ἣν τοῦ κόσμου παντὸς μίμημα κατεσκεύασεν Ἥφαιστος, τουτέστιν ἡ πνευματικὴ δύναμις ἐμπεριέχο-

μένας, ἐποίησε δύο πόλεις· τὴν μὲν ἐν εἰρήνῃ, καὶ εὐφροσύνῃ διάγουσαν, τὴν δ' ἐν πολέμῳ χολάζουσαν. καὶ παραθεὶς τὰ ἑκατέρᾳ πρόσφορα παρίστησιν· ὅτι ὁ μὲν, πολιτικός ἐστι βίος, ὁ δὲ, στρατιωτικός.

Οὐ παρῆδε δὲ οὐδὲ τὸ τρίτον τὸ γεωργικόν, ἀλλὰ καὶ τοῦτον ἔδειξεν ἐναργείᾳ ἅμα, καὶ κάλλος περιθεὶς τοῖς λόγοις. ὅτι γε μὴν πάσῃ πόλει νενομοθέτηται τὸ εἶναι συνέδριον βουλῆς, καὶ τοῦτο προβουλεύεσθαι πρὸ τοῦ τὸν δῆμον συνιέναι, πρόδηλον ὅτι ἐστὶν ἐκ τῶν ὁμηρικῶν τούτων. βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων. συνάγει τε Ἀγαμέμνων τοὺς γέροντας, καὶ σκέπτεται περὶ αὐτῶν, ὅπως ὁπλίσῃ τὸ πλῆθος πρὸς τὴν μάχην. καὶ ὅτι δεῖ τὸν ἄρχοντα πρὸ τῶν ἄλλων φροντίζειν τῆς πάντων σωτηρίας, ἐν τῷ αὐτῷ προσώπῳ διδάσκει, ᾧ καὶ παραινεῖ. οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα. καὶ ὅτι δεῖ τῷ ἡγουμένῳ πείθεσθαι τοὺς ὑποτεταγμένους. καὶ ὅπως ἑκάστῳ προσφέρεσθαι τὸν προτεταγμένον ὁ Ὀδυσσεὺς ὑποδείκνυσι. τοὺς μὲν ἐντίμους, λόγοις προσηνέσι πείθων. τοῖς δὲ ἐκ τοῦ ὄχλου, πικρότερον ἐπιπλήττων. ἀλλὰ καὶ τὸ ὑπανίστασθαι τοῖς ἀμείνοσι, παρὰ πᾶσι νενόμισται, ὃ καὶ αὐτοὶ οἱ θεοὶ ποιοῦσιν ἐπὶ τοῦ Διός. οὐδέ τις ἔτλη μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες. νόμος παρὰ τοῖς πλείστοις τὸν πρεσβύτατον λέγειν. ὁ δὲ Διομήδης ὑπὸ ἀνάγκης τοῦ πολέμου πρῶτος θαρσήσας λέγειν, συγγνωστὸς εἶναι ἀξιοῖ. καὶ μή ποτ' ἀγάσσεσθαι. οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν.

Κἀκεῖνο δὲ παρὰ πᾶσι νενόμισται, τὸ κολάζεσθαι τὰ ἑκούσια ἁμαρτήματα, τὰ δὲ ἀκούσια, συγγνώμης τυγχάνειν. τοῦτο πάλιν δείκνυσιν ὁ ποιητής, ἐν οἷς φησιν ὁ ἀοιδὸς παρ' αὐτῷ. καί κεν Τηλέμαχος τάδε γ' εἴποι σὸς φίλος υἱός, ὡς ἐγὼ οὔ τι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατί-

Landesbibliothek Oldenburg

ξων πολλὴν μνηστῆρσιν ἀεισάμενος μετὰ δαῖτας. ἀλλὰ πολὺ πλέονες, καὶ κρείσσονες ἦγον ἀνάγκῃ.

Τριῶν δὲ οὐσῶν πολιτειῶν πρὸς δικαιοσύνην, καὶ εὐνομίαν βασιλείας τέ, καὶ ἀριστοκρατίας, καὶ δημοκρατίας, καὶ ταύταις πάλιν ἀντικειμένων τριῶν πρὸς ἀδικίαν, καὶ παρανομίαν, τυραννίδος, ὀλιγαρχίας, ὀχλοκρατίας, οὐδὲ ταύτας ὅμηρος ἀγνοεῖν ἔοικε. τὴν μὲν βασιλείαν διὰ ὅλης τῆς ποιήσεως ὀνομάζων, καὶ ἐγκωμιάζων. ὡς ἐν τούτοις. θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων. τιμὴ δ' ἐκ διός ἐστι. φιλεῖ δέ ἑ μητίετα ζεύς. καὶ ὁποῖον δοκεῖ εἶναι τὸν βασιλέα σαφῶς δηλοῖ. λαῶν, δ' οἷσιν ἄνασσε, πατὴρ δ' ὡς ἤπιος ἦεν. καὶ οὔτε τινὰ ῥέξας ἐξαίσιον, οὔτε τι εἰπὼν ἐν δήμῳ. ἥτ' ἐστὶ δίκη θείων βασιλήων. τὴν δὲ ἀριστοκρατίαν, ἐν οἷς βοιωτῶν βασιλέας πέντε καταριθμεῖ. καὶ παρὰ τοῖς φαίαξι. δώδεκα γὰρ κατὰ δῆμον ἀριπρεπέες βασιλῆες, ἀρχοὶ κραίνουσι, τρισκαιδέκατος δ' ἐγὼ αὐτός. δημοκρατίας δὲ εἰκόνα ἐναργῶς ἐν τῇ κατασκευῇ τῆς ἀσπίδος δεικνύει. ἐν ᾗ δύο ποιήσας πόλεις, τὴν ἑτέραν, δημοκρατεῖσθαί φησι, μηδενὸς ἡγουμένου, πάντων δὲ πρὸς τὴν ἑαυτῶν βούλησιν κατὰ νόμους βιούντων, ἔνθα καὶ δικαστήριον εἰσάγει, καὶ ἐν ἰθάκῃ γε τὴν δημοκρατίαν παρίστησιν, ἐν οἷς φησι δῆμον ὑποδδείσας. δὴ γὰρ κεχολώσατο λίην, οὕνεκα ληϊστῆρσιν ἐπισπόμενος ταφίοισιν, ἤκαχε θεσπρωτούς. οἱ δ' ἡμῖν ἄρθμιοι ἦσαν. τὸν δὲ βιαίως, καὶ παρανόμως ἄρχοντα, τύραννον μὲν οὐ καλεῖ. νεώτερον γὰρ τὸ ὄνομα, οἷος δὲ τοῖς ἔργοις γίνεται δείκνυσιν ἐν τούτοις. εἰς ἔχετον βασιλῆα βροτῶν δηλήμονα πάντων, ὅς κ' ἀπὸ ῥῖνα τάμησι, καὶ οὔατα νηλέϊ χαλκῷ. καὶ τὸν αἴγισθον δὲ τυραννικὸν ἀποφαίνει, ὃς ἀποκτείνας τὸν ἀγαμέμνονα, ἐκράτει τῶν μυκηναίων. καὶ ὁπότε ἀνῃρέθη

φησίν, ὅτι οὐκ ἂν ἔτυχε ταφῆς ὥσπερ μενέλαον παραιν... τοῦτο γὰρ ἐπὶ τῶν τυράννων νενόμισται, τῷ οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν, ἀλλ᾽ ἄρα τόνγε κύνες τε, καὶ οἰωνοὶ κατέδαψαν κείμενον ἐν πεδίῳ. μάλα γὰρ μέγα μήσατο ἔργον.

Ολιγαρχίαν δὲ δηλοῦν δοκεῖ, διὰ τῆς τῶν μνηστήρων πλεονεξίας, περὶ ὧν φησιν, ἠδ᾽ ὅσσοι κραναὴν ἰθάκην κάτα κοιρανέουσι. τὴν δὲ ὀχλοκρατίαν ἐν τῇ τῶν τρώων πολιτείᾳ παραδίδωσιν, ἐν ᾗ καὶ συναράμενοι πάντες ἀλεξάνδρῳ, κακοῖς περιέπεσον. καὶ ὁ πρίαμος λοιδορεῖται τοῖς παισίν, ὡς τούτων αἰτίοις, σπεύσατέ μοι κακὰ τέκνα κατηφόνες. καὶ ἄλλος δέ τις τῶν τρώων ὁ ἀντίμαχος, χρυσὸν ἀλεξάνδροιο δεδεγμένος ἀγλαὰ δῶρα, οὐκ εἴασχ᾽ ἑλένην δόμεναι ξανθῷ μενελάῳ.

Ετι δὲ τὸ παρὰ ἀνθρώποις δίκαιον τοῦτο νομίζεται, τὸ ἀπονεμητικὸν ἑκάστῳ τοῦ κατ᾽ ἀξίαν, ἐν ᾧ μάλιστά ἐστι τὸ θεοὺς σέβειν, γονέας, καὶ οἰκείους τιμᾶν, τὴν μὲν εἰς θεοὺς εὐσέβειαν, ἐν πολλοῖς διδάσκει εἰσάγων τοὺς ἥρωας θύοντας, καὶ εὐχομένους, καὶ δῶρα ἀνατιθέντας τοῖς θεοῖς, καὶ ὕμνοις γεραίροντας αὐτούς, καὶ τῆς εὐσεβείας ἀμοιβὴν ἀπολαμβάνοντας τὴν παρὰ τῶν θεῶν ἐπικουρίαν. τὴν δὲ πρὸς τοὺς γεννωμένους τιμήν, ἐν τῷ τηλεμάχου προσώπῳ μάλιστα δείκνυσι, καὶ ἐν οἷς ἐπαινεῖ τὸν ὀρέστην, οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε δῖος ὀρέστης πάντας ἐπ᾽ ἀνθρώπους, ἐπεὶ ἔκτανε πατροφονῆα;

Καὶ ὅτι τὸ γηροτροφεῖσθαι τοὺς γονέας ὑπὸ τῶν παίδων φύσει δίκαιον, καὶ ἐξ ἀμοιβῆς ὀφειλόμενον, διὰ μιᾶς λέξεως ἐδήλωσεν εἰπών, οὐδὲ τοκεῦσι θρέπτρα φίλοις ἀπέδωκεν. ἀδελφῶν δὲ εὔνοιαν, καὶ πίστιν πρὸς ἀλλήλους, ἐν τῷ ἀγαμέμνονι, καὶ μενελάῳ, φίλων δὲ ἐν ἀχιλλεῖ, καὶ πα

τρόκλῳ δείκνυσι· γυναικὸς δὲ σωφροσύνην, καὶ φιλανδρίαν, ἐν τῇ Πηνελόπῃ· ἀνδρὸς δὲ πόθον τῆς αὐτοῦ γυναικός, ἐν τῷ Ὀδυσσεῖ παρίστησιν.

Ὅπως δὲ καὶ ὑπὲρ πατρίδος χρὴ πράσσειν, ἐν τούτῳ μάλιστα ἐδήλωσεν· εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. καὶ πάλιν ὅπως τῆς τῶν πολιτῶν κοινωνοῦντας φιλίας ἔχειν δεῖ· ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος. πῶς δὲ τὸ ἀληθεύειν τίμιον, τὸ δὲ ἐναντίον φευκτόν; ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν, ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ· καὶ οἵ τ' ἄλλα μὲν βάζουσι, καὶ πῶς δ' ὄπιθεν φρονέουσι.

Τῶν δὲ οἴκων μάλιστα σωζομένων, ὁπόταν γυνὴ μήτε τὰς ἀπορρήτους διανοίας τοῦ ἀνδρὸς πολυπραγμονῇ, μήτε ἄνευ τῆς γνώμης αὐτοῦ πράσσειν τι ἐπιχειρῇ, ἑκάτερον ἐκ τῆς Ἥρας ὑπέδειξε. τὸ μὲν πρότερον, τῷ Διὶ λέγοντι περιθείς, Ἥρη μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους εἰδήσειν· τὸ δὲ ἕτερον τῇ Ἥρᾳ, μήπως μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο. τὸ δὲ καὶ τοὺς ἐξιόντας ἐπὶ πόλεμον, ἢ ἐν κινδύνῳ καθεστῶτας ἐντέλλεσθαί τι τοῖς οἰκείοις εἰθισμένον παρὰ πᾶσιν, οὐκ ἠγνόησεν ὁ ποιητής. ἡ μὲν γὰρ Ἀνδρομάχη στένουσα τὸν Ἕκτορά φησιν, οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας· οὐδέ τι μοι εἶπας πυκινὸν ἔπος, οὗτέ κεν αἰεὶ μεμνήμην νύκτας τε, καὶ ἤματα δακρυχέουσα. ἡ δὲ Πηνελόπη, τῶν τοῦ Ὀδυσσέως ἐντολῶν μνημονεύει, φήσαντος ὁπότε ἐξῄει τῷ, οὐκ οἶδ' ἤ κεν μ' ἀνέσει θεός, ἤ κεν ἁλώω αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων, μεμνῆσθαι πατρός, καὶ μητέρος ἐν μεγάροισιν, ὡς νῦν ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος. αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι, γήμασθ' ᾧ κ' ἐθέλῃσθα

τεὸν κατὰ δῶμα λιποῦσα. οἶδε, καὶ ἐπιτρόπους καί οἱ ἰὼν ἐν νηυσὶν, ἐπέτρεπεν οἶκον ἅπαντα, πείθεσθαί τε γέροντι, καὶ ἔμπεδα πάντα φυλάσσειν.

Τὰ δὲ ἐπὶ τοῖς θανάτοις τῶν οἰκείων πένθη, οὔτε ἄμετρα εἶναι ἀξιοῖ. (ἀγεννὲς γὰρ τοῦτο.) οὔτε παντελῶς ἐκκεκόφθαι ἐᾷ (ἀδύνατον γὰρ τὸ ἀπαθὲς ἐπὶ ἀνθρώπων.) ὅθεν λέγει τὰ τοιαῦτα. ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέημεν. τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν. ἐν ἄλλοις δέ φησιν. ἀλλὰ χρὴ τὸν μὲν, καταθάπτειν ὅς κε θάνῃσι νηλέα θυμὸν ἔχοντας ἐπ' ἤματι δακρύσαντας. ἔχω δὲ κἀκεῖνα, ἃ καὶ νῦν ἐν ταῖς ταφαῖς νομίζεται ἔν τε ἄλλοις, καὶ ἐν τούτοις. ἔνθα ἑ ταρχύσουσι, κασίγνητοί τε, ἔται τε, τύμβῳ τε, στήλῃ τε, τὸ γὰρ γέρας ἐστὶ θανόντων. καὶ διὰ τῆς Ἀνδρομάχης φησὶν ἐπὶ τοῦ Ἕκτορος νέκυν γυμνὸν κείμενον. αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται γυμνόν, ἀτάρ τοι εἵματά τ' ἐνὶ μεγάροισι κέονται λεπτά τε, καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν. ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ. οὐδέν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς. ἀλλὰ πρὸς Τρώων, καὶ Τρωϊάδων κλέος εἶναι. οὕτω καὶ ἡ Πηνελόπη τὴν ἐσθῆτα κατασκευάζει Λαέρτῃ ἥρωϊ ταφήϊον. καὶ ταῦτα μέν, μέτρια. τὸ δὲ περισσὰ τούτων ζῶα ἄλλα τε, καὶ ἀνθρώπους ἐπικαίειν τὸν Ἀχιλλέα τῇ τοῦ Πατρόκλου πυρᾷ, οὐκ ἐπαινῶν λέγει. διὸ καὶ ἐπιφωνεῖ. κακὰ δὲ φρεσὶ μήδετο ἔργα.

Καὶ τὰ πολυάνδρια ἢ πρῶτος ἤγειρε. τύμβον δ' ἐκ πεδίου ἕνα χεύομεν ἐξαγαγόντες. καὶ τοὺς ἐπιταφίους ἀγῶνας ἔδειξε πρῶτος. ταῦτα μὲν κοινά, τῶν τε ἐν εἰρήνῃ, καὶ τῶν ἐν πολέμῳ καθεστώτων. τὴν δὲ περὶ τοὺς πολέμους ἐμπειρίαν, ἣν καὶ τακτικήν τινες καλοῦσιν, ἡ ποίησις πεποικιλμένη μὲν πεζομαχίαις, τειχομαχίαις, ἐπιναυμαχίαις,

μαχίαις, παρατάξεσι, μονομαχίαις. πολλὰ δὲ καὶ στρατηγικὰ περιέχουσα, ὧν ὀλίγα παραθέσθαι ἐστὶν ἄξιον.

Ἐν γὰρ ταῖς παρατάξεσιν ἀεὶ χρὴ προτετάχθαι τὸ ἱππικόν, καὶ ἕπεσθαι τὸ πεζόν· καὶ τοῦτο δὲ δείκνυσιν οὕτως. ἱππῆας μὲν πρῶτα σὺν ἵπποισι, καὶ ὄχεσφι, πεζοὺς δ' ἐξόπιθεν στῆσας, πολέας τε, καὶ ἐσθλούς, καὶ τὸ εἶναι ἐν τοῖς στρατιώταις ἡγεμόνας κατὰ τάξεις. ἑπτὰ δ' ἔσαν ἡγεμόνες φυλάκων· ἑκατὸν δὲ ἑκάστῳ κοῦροι ἅμ' ἔστιχον, δολίχ' ἔγχεα χερσὶν ἔχοντες.

Καὶ τῶν ἡγεμόνων, τοὺς μὲν, προαγωνίζεσθαι ἐν πρώτοις τεταγμένους, τοὺς δέ, κατόπιν γενομένους, ἐπάγειν τοὺς λειπομένους πρὸς τὴν μάχην· οἱ δ' ἀμφ' Ἰδομενῆα δαΐφρονα θωρήσσοντο· Ἰδομενεὺς μέν, ἐνὶ προμάχοισι συῒ εἴκελος ἀλκήν, Μηριόνης δ' ἄρα οἱ πυμάτας ὤτρυνε φάλαγγας.

Καὶ ὅτι δεῖ τοὺς δυνάμει διαφέροντας ἐν τοῖς ἔξω στρατοπεδεύειν, ὥσπερ τεῖχος τῶν λοιπῶν περιβεβλημένους, τὸν δὲ βασιλέα ἐν τῷ ἀσφαλεστάτῳ, τουτέστι τῷ μεσαιτάτῳ κατασκηνοῦν δείκνυσιν, ἐν τῷ τοὺς μὲν γενναιοτάτους τὸν Ἀχιλλέα, καὶ τὸν Αἴαντα ἐν τοῖς ἐσχάτοις μέρεσι τῶν νεῶν κατεσκηνωκέναι, τὸν δὲ Ἀγαμέμνονα, καὶ τοὺς ἄλλους ἀρίστους, ἐν τῷ μέσῳ. καὶ τὸ ἐν τῷ στρατοπεδεύεσθαι χάρακάς τε περιβάλλεσθαι, καὶ τάφρους ἀποσκάπτειν εἰς εὖρος, καὶ βάθος, καὶ σκόλοψι κύκλῳ διαλαμβάνειν, ὡς μήτε ὑπερπηδᾶν τινα διὰ πλάτος, μήτε διὰ βάθος κατιέναι δύνασθαι, γίνεταί τε ἐν τοῖς πολεμίοις, καὶ παρ' Ὁμήρῳ· ἀπὸ γὰρ δειδίσσετο τάφρος εὐρεῖα οὐ γὰρ ὑπερθορέειν σχεδόν, οὔτε περῆσαι ῥηϊδίη· κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν ἕστασαν ἀμφοτέρωθεν. ὕπερθεν δὲ σκολόπεσσιν ὀξέσιν ἠρήρειστο, τοὺς ἕστασαν υἷες Ἀχαι-

ὧν πυκνοὺς, καὶ μεγάλους δηΐων ἀνδρῶν ἀλεωρήν. καὶ μαχόμενοι θνήσκουσι γενναίως οἱ τούτοις ἑπόμενοι· μὴ μὰν ἀσπουδί γε, καὶ ἀκλειῶς ἀπολοίμην, ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι. καὶ πάλιν· ὃς δέ κεν ὑμέων βλήμενος, ἠὲ τυπεὶς, θάνατον καὶ πότμον ἐπίσπῃ, τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης τεθνάμεν. καὶ τοῖς μὲν ἀριστεῦσι, γέρα νέμεται. ἀλλὰ δ' ἀριστήεσσι δίδου γέρα, καὶ βασιλεῦσι. τοῖς δὲ λειποτακτοῦσιν ἀπειλεῖ· ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἐθέλοντα νοήσω, αὐτοῦ οἱ θάνατον μητίσομαι.

Ἐν δὲ ταῖς μάχαις, ὃν μὲν τρόπον, καὶ ὅπως διαφόρως, καὶ ποικίλως τοὺς ἥρωας ποιεῖ τιτρώσκοντας, καὶ τιτρωσκομένους, τί δεῖ λέγειν; ἐκεῖνο δὲ ὑπομνῆσαι ἄξιον, ὅτι τοὺς μὲν πρόσθεν τετρωμένους, ἐνδοξοτέρους ἡγούμεθα, ἅτε πλὴν ἐκ τοῦ συνεστάναι, καὶ παραμένειν προθυμίαν δηλοῦντας. τοὺς δὲ τὸ νῶτον, ἢ τὸ μετάφρενον πεπληγότας, ἀτιμοτέρους, ὡς ἐν τῷ φεύγειν τοῦτο πεπονθότας. καὶ ταῦτα δὲ ἑκάτερά ἐστι παρ' Ὁμήρῳ. εἴπερ γάρ κε βλεῖο πονάμενος, ἠὲ τυπείης, οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος, οὐδ' ἐνὶ νώτῳ, ἀλλά κεν ἢ στέρνων, ἢ νηδύος ἀντιάσειε, πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν. καὶ πάλιν· οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις. ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον. χρησίμως δὲ καὶ ἐν τῇ τροπῇ τῶν πολεμίων παραινεῖ μὴ περὶ τὰ σκῦλα γίνεσθαι, μηδὲ ἐνδιδόναι καιρὸν φυγῆς, ἀλλ' ἐγκεῖσθαι, καὶ διώκειν. μήτις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν μιμνέτω, ὥς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται, ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ, ἕκηλοι νεκροὺς ἂμ πεδίον συλήσετε τεθνειῶτας.

Ἔστι δὲ παρ' αὐτῷ πάσης ἡλικίας κατορθώματα, ὑφ' ὧν

πᾶς ὅστις οὖν ἐπαρθείη, ὁ μὲν, ἀκμάζων, ὑπὸ τοῦ ἀχιλ-
λέως, καὶ αἴαντος, καὶ διομήδους, ὁ δὲ νεώτερος, ὑπὸ τοῦ
ἀντιλόχου, καὶ τοῦ μηριόνου· ὁ δὲ μεσαιπόλιος, ὑπὸ τοῦ
ἰδομενέως, καὶ τοῦ ὀδυσσέως, ὁ δὲ γέρων, ὑπὸ τοῦ νέστορος.
καὶ πᾶς βασιλεὺς ὑπὸ τούτων ἁπάντων, καὶ τοῦ ἀγαμέμνο-
νος. τοιαῦτα μὲν τῶν πολιτικῶν λόγων, καὶ πράξεών ἐστι
παρ' ὁμήρῳ τὰ λήμματα.

Θ εασώμεθα δὲ καὶ περὶ τῶν ἰατρικῶν, εἰ καὶ τούτων μὴ
εἶχεν ἀπείρως ὅμηρος· καὶ ὅτι μὲν πολλοῦ ἀξίαν τὴν τέ-
χνην ὑπελάμβανε, δῆλον ἐκ τούτου· ἰητρὸς γὰρ ἀνὴρ πολ-
λῶν ἀντάξιος ἄλλων· δοκεῖ δὲ ἡ ἰατρική, ἐπιστήμη εἶναι
νοσερῶν, καὶ ὑγιεινῶν, ἅπερ ἐκ τούτων ἄν τις μάθοι, ὅτι
μὲν ἐπιστήμη, ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάν-
των· ὅτι δὲ ὑγιεινῶν, καὶ νοσερῶν, φάρμακα πολλὰ μὲν
ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά, σημαίνει τούτων
ἑκάτερον· ἔστι μὲν τῆς ἰατρικῆς, θεωρητικὸν μέν, τὸ
διὰ τῶν καθολικῶν λόγων, καὶ διὰ μεθόδου ἐπάγον ἐπὶ
τὴν τῶν κατὰ μέρος γνῶσιν. τούτου δὲ αὖ μέρη, τὸ μέν,
σημειωτικόν, τὸ δέ, αἰτιολογικόν. πρακτικὸν δὲ τό,
διὰ τῆς ἐνεργείας αὐτῆς βαδίζον· τούτου δὲ μέρη, τὸ μέν,
διαιτητικόν, τὸ δέ, χειρουργικόν, τὸ δὲ, φαρμακευτικόν.
πῶς οὖν ἑκάστῳ τούτων ὅμηρος ἐπιβέβληκεν· ὅτι μὲν τὸ θεω-
ρητικόν τι εἶναι ἐπίσταται, ἐν τούτῳ αἰνίττεται. τοῖα διὸς
θυγάτηρ ἔχε φάρμακα μητιόεντα. μητιόεντα γὰρ λέγει,
δηλονότι κατὰ τέχνην θεωρητικὴν ἐσκευασμένα.

Τ ὸ δὲ σημειωτικὸν ἄντικρυς ἱστορεῖ, διὰ τοῦ ἀχιλλέως.
μαθητὴς γὰρ ὢν χείρωνος, πρῶτος τὴν αἰτίαν τῆς κατα-
σχούσης τοὺς ἕλληνας νόσου κατενόησε, συνιδὼν ὅτι τὰ
ἐπιδήμια νοσήματα, ἐκ τοῦ ἀπόλλωνός ἐστιν, ὅς γε δο-
κεῖ εἶναι ὁ αὐτὸς τῷ ἡλίῳ. οὗτος γὰρ τὰς ὥρας τοῦ ἔτους ἐπά-



Landesbibliothek Oldenburg

γε· ἅπερ ὅταν ὦσι δυσκράτως διακείμεναι, νοσήματος αἴτιαι καθίστανται. καὶ τὸ ὅλον, τήν τε σωτηρίαν, καὶ τὸν ὄλεθρον, τῶν μὲν ἀνδρῶν τῷ ἀπόλλωνι, τῶν δὲ γυναικῶν, τῇ ἀρτέμιδι, τουτέστι τῷ ἡλίῳ, καὶ τῇ σελήνῃ ἀνατίθησι, τοξότας μὲν αὐτοὺς ποιῶν διὰ τὴν τῶν ἀκτίνων βολὴν, οὕτω δὲ διορίζων τὸ ἄρρεν, καὶ τὸ θῆλυ, ἐπεὶ καὶ θερμότερον φύσει τὸ ἄρρεν γένος. διὰ ταῦτα γοῦν φησι, τὸν μὲν τηλέμαχον τηλικοῦτον εἶναι, ἀπόλλωνός γε ἕκητι. τὰς δὲ πανδάρεω κούρας ὑπ' ἀρτέμιδος ηὐξῆσθαι. τοὺς δὲ θανάτους αὐτοῖς ἀνατίθησιν ἔν τε ἄλλοις πολλοῖς, καὶ ἐν οἷς διορίζει. τοὺς μὲν, ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο, χωόμενος νιόβῃ, τὰς δ' ἄρτεμις ἰοχέαιρα. ὅπου δὲ καὶ τὴν τοῦ κυνὸς ἐπιτολὴν διηγεῖται, σημεῖον, καὶ αἴτιον τοῦτο ἐκκαύσεως, καὶ νόσων. λαμπρότατος μὲν ὅγ' ἐστὶ, κακὸν δέ τε σῆμα τέτυκται, καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν. αἰτιολογεῖ δὲ ἐν οἷς λέγει περὶ τῶν θεῶν. οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον. τοὔνεκ' ἀναίμονές εἰσι, καὶ ἀθάνατοι καλέονται. ἡ γὰρ τροφὴ, ἥτε ξηρὰ, καὶ ὑγρὰ, αἵματός ἐστι γεννητική. τοῦτο δὲ τρέφει μὲν τὸ σῶμα, πλεονάσαν δὲ, ἢ διαφθαρὲν, νόσων αἴτιον γίνεται.

Τὸ δὲ πρακτικὸν μέρος τῆς ἰατρικῆς, οὕτως ἀκριβοῖ, ὥστε ἐστὶ καὶ διαιτητικόν. πρῶτον μὲν γὰρ οἶδε τὰ χρόνια τῶν νοσημάτων, καὶ τὰ ὀξέα, ὡς ὅταν λέγῃ. τίς νύ σε κὴρ ἐδάμασε τανηλεγέος θανάτοιο, ἢ δολιχὴ νόσος, ἢ ἄρτεμις ἰοχέαιρα, οἷς ἀγανοῖς βελέεσιν ἐποιχομένη κατέπεφνεν;

Φανερὸς δέ ἐστι καὶ τὴν λιτὴν δίαιταν ὑγιεινὴν ὑπολαμβάνων. πεποίηκε γὰρ τοὺς ἥρωας ὀπτοῖς κρέασι χρωμένους, περιελὼν τὴν περὶ τὰ βρώματα περιεργίαν. καὶ ἐπεὶ ἡ γαστὴρ

ἀφ' ἑαυτῆς πληρώσεως, ὅταν τὰ πρότερα σιτία καταπεφθέντα, τὸ μὲν οἰκεῖον τῷ σώματι, εἰς καρδίαν, καὶ τὰς φλέβας ἀναπέμψῃ, τὸ δὲ περιττὸν ἐκβάλῃ, τοιαῦτά φησιν, ἀλλ' ἐμὲ μὲν δορπῆσαι ἐάσατε κηδόμενόν περ. οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο. ἔπλετο· ἥτ' ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ. καὶ πάλιν. ἡδὲ, μάλ' αἰεὶ ἐσθέμεναι κέλεται, καὶ πινέμεν· ἐκ δέ με πάντων ληθάνει, ὅσσ' ἔπαθον, καὶ ἐνιπλήσασθαι ἀνώγει.

Οἶδε δὲ καὶ οἴνου χρήσεως διαφοράς. ὅτι ὁ μὲν πολὺς ποθεὶς, βλαβερός, ὁ δὲ μέτριος, ὠφέλιμος. τὸ μέν, οὕτως. οἶνός τοι μελιηδής, ὅς τε καὶ ἄλλους βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ. τὸ δέ, ἐκείνως. ἀνδρὶ δὲ κεκμηῶτι, μένος μέγα οἶνος ἀέξει. καὶ ὅτι δυνάμεως ποιητικός. ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος, καὶ ἐδωδῆς, ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ, θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο. καὶ τὸν μὲν ἡδὺν, εἰς τὰς φιλοφροσύνας παραλαμβάνει. ὣς φάτο, Ποντόνοος δὲ μελίφρονα οἶνον ἐκίρνα. τὸν δὲ σφοδρόν, καὶ καρωτικὸν, τῷ κύκλωπι ὀδυναστὰ τίθησι. τὸν δὲ συμφέροντα, πρὸς ἴασιν. οὗτος γάρ ἐστιν ὁ Πράμνειος, ὃν τῷ Μαχάονι τετρωμένῳ δίδωσιν.

Ὅπως δὲ καὶ γυμνασίοις χρῆσθαι παραγγέλλει, φανερὸν ἐκ πολλῶν. ἀφ' ὧν πονοῦντας ποιεῖ. τοὺς μὲν, ἐν τοῖς προσήκουσιν ἔργοις, τοὺς δέ, δι' ἐπιτηδευμάτων. ὁπότε καὶ τοὺς μάλιστα τῇ ἡδυπαθείᾳ κεχρημένους Φαίακας, καὶ τοὺς ἀσώτους μνηστῆρας γυμναζομένους εἰσάγει, καὶ πόνους μὲν τοὺς αὐτάρκεις αἰτίους ὑγιείας οὕτω νομίζει. τῶν δὲ καταβαρούντων τὸ σῶμα κοπμάτων, ἴαμα τὸν ὕπνον εἶναι. φησὶ γοῦν τῷ Ὀδυσσεῖ κεκμηκότι ἀπὸ τῆς θαλάσσης ὕπνον ἐπελ-

ἄγει, ἵνα μιν παύσει τάχιστα δυσπραγέος καμάτοιο. ἡ γὰρ φύσις ἀπαιτεῖ τὸ κεκμηκὸς σῶμα ἀναπαύεσθαι· καὶ ἐν τῷ ὀλίγον τὸ θερμὸν ὑπάρχει, τοῦτο ἐπεὶ οὐ δύναται πάντη ἐξικνεῖσθαι, ἐν τῷ βάθει μένει. πῶς δὲ καὶ ἀναπαύεται τὸ σῶμα, ὅτι ἡ σύστασις τῆς ψυχῆς ἀνίεται, καὶ τὰ μέλη τοῦ σώματος λύεται, καὶ τοῦτο ἐναργῶς εἶπεν. εὗδε δ' ἀνακλινθεῖσα, λύθεν δέ οἱ ἅψεα πάντα. τὸ δὲ ἐν τοῖς ἄλλοις ἅπασιν ἄμετρον, οὐκ ὂν ὠφέλιμον, καὶ ἐπὶ τοῦ ὕπνου ἀποφαίνεται, ποτὲ μὲν εἰπὼν, ἀνίη καὶ πολὺς ὕπνος. ποτὲ δὲ ἀνίη καὶ τὸ φυλάσσειν πάννυχον ἐγρήσσοντα.

Ἐπίσταται δὲ καὶ ἀέρων εὐκρασίαν ὑγείας οὖσαν παρασκευαστικήν, ἐν οἷς φησιν. ἀλλά σ' ἐς ἠλύσιον πεδίον, καὶ πείρατα γαίης ἀθάνατοι πέμψουσιν, ὅθι ξανθὸς ῥαδάμανθυς. τῇ περ ῥηΐστη βιοτὴ πέλει ἀνθρώποισιν, οὐ νιφετὸς, οὔτ' ἂρ χειμὼν πολὺς, οὔτε ποτ' ὄμβρος, ἀλλ' αἰεὶ ζεφύροιο λιγὺ πνείοντας ἀήτας, ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους· ἐν οἷς δύο ταῦτα μάλιστα ὀρθῶς διεγνωκὼς φαίνεται, ὅτι τε ἡ ἀρχὴ τῶν ἀνέμων ἀπὸ τῶν ὑγρῶν γίνεται, καὶ ὅτι τὸ ἔμφυτον τοῦ ζώου θερμὸν, δεῖται ἀναψύξεως. καὶ ἰάματα δὲ παθημάτων οἶδε. λειποθυμίας μὲν ἀνάψυξιν, ὅπερ καὶ ἐπὶ τοῦ σαρπηδόνος ποιεῖ· αὖθις δ' ἀμπνύνθη, περὶ δὲ πνοιὴ βορέαο ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν. ψύξεως δὲ θέρμην, ὡς ἐπὶ τοῦ ὀδυσσέως κεχειμασμένου, ὃς ἐν τῷ θάμνῳ κρύπτεται, ἔνθα καὶ ἀνέμων, καὶ ὄμβρων ἦν ἡ σκέπη, καὶ τῇ παρούσῃ ὕλῃ καλύπτεται, καὶ ὅπου δὲ λουτρά, καὶ χρίσματα ὡς ἐπὶ τοῦ διομήδους, καὶ τοῦ ὀδυσσέως ἐκ τῆς νυκτεγερσίας ἀνακομισθέντων. καὶ γὰρ οἵαν ὠφέλειαν ἔχει τὰ λουτρά, διὰ τούτων μάλιστα δηλοῖ. θυμήρεις κεράσασα κατὰ κρατός τε, καὶ ὤμων· φανερὸν οὖν ὅτι ἐντεῦθεν ἔχοντα τὴν ἀρχὴν

τὰ νεῦρα, εἰκότως ἀπ' αὐτῶν, καὶ τὴν ἴασιν τοῦ κόπου λαμβάνει. αὕτη δέ ἐστιν ἡ διὰ τοῦ θερμανθῆναι, καὶ ὑγρανθῆναι. ξηραίνουσι γὰρ οἱ κόποι.

Λοιπὸν ἐστὶ σκοπεῖν ὅπως καὶ τὰ τῆς χειρουργίας κατενόησε. τὸν μὲν δὴ Μενέλαον, ὁ Μαχάων ἰᾶται, πρῶτον ἐκκομισάμενος τὸ βέλος, ἔπειτα σκεψάμενος τὸ ἕλκος, καὶ ἐκπιέσας τὸ αἷμα, καὶ ξηρὰ φάρμακα ἐπιπάσας. καὶ τοῦτο πρόδηλον, ὅτι τεχνικῶς αὐτῷ πράττεται. τὸν δὲ Εὐρύπυλον κατὰ τοῦ μηροῦ τετρωμένον, Πάτροκλος πρῶτα μὲν τῷ ἀπορηθέντι μαχαιρίῳ διαχειρίξει, ἔπειτα ἀπονίψας ὕδατι λιαρῷ, ὡς ἀνωδυνώτερον γένοιτο, ῥίζαν ἐπιβάλλει. πολλαὶ γὰρ πανταχῇ πρὸς ἴασιν ἑλκῶν πεφύκασιν. ἔγνω δὲ καὶ τοῦτο, ὡς τὰ πικρὰ φάρμακα πρὸς τὸ ξηραίνειν ἐστὶν ἐπιτήδεια. ξηραίνεσθαι δὲ χρήζει τὰ ἕλκη, καὶ οὐκ εὐθέως ἰασάμενος ὁ Πάτροκλος ἀπῆλθεν, ἀλλ' ἧστό τε, καὶ τὸν ἔτερπε λόγοις. ἔδει γὰρ τῷ ὀδυνωμένῳ παραμυθίας. τὸν δὲ Μαχάονα τρωθέντα οὐ μεγάλην, οὐδὲ καίριον πληγὴν ἐπὶ τοῦ ὤμου, εἰκότως ἀφυλακτοτέρᾳ διαίτῃ ποιεῖ χρώμενον. ἴσως καὶ τὴν τέχνην αὐτοῦ δείκνυσιν. ὁ γὰρ τἄλλα ὡς ἔτυχε διαιτώμενος, ἑαυτὸν ἰᾶσθαι ἐδύνατο.

Κἀκεῖνο δὲ ἐστὶ κατανοῆσαι παρ' αὐτῷ, ὅτι οὐκ ἀγνοεῖ τῶν ἰατρικῶν φαρμάκων. τὰ μὲν ἐπίπλαστα, καὶ ἐπίπαστα, ὡς ὅταν φῇ ἐπ' ἄρ' ἤπια φάρμακα πάσσε. τὰ δὲ ποτά, ὅπου ἡ Ἑλένη τῷ κρατῆρι μίσγει. φάρμακον νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν δηλητηρίων φαρμάκων τὰ μὲν ἐπίχριστα οἶδεν ὡς ἐν τούτοις. φάρμακον ἀνδροφόνον διζήμενος, ὄφρα οἱ εἴη ἰοὺς χρίεσθαι χαλκήρεας. τὰ δὲ ποτὰ ἐν ἐκείνοις. ἐν δὲ βάλῃ κρητῆρι, καὶ ἡμέας πάντας ὀλέσῃ. ταῦτα μὲν καὶ περὶ τῶν παρ' Ὁμήρῳ ἰατρικῶν.

Ὠφελοῦνται δὲ οἱ ἄνθρωποι, ὥσπερ ἀπὸ τῆς ἰατρικῆς, οὕτως δῆλον ὅτε καὶ ἀπὸ τῆς μαντικῆς· ταύτης δὲ τὸ μὲν, τεχνικόν φασιν εἶναι οἱ στωϊκοί· οἷον, ἱεροσκοπίαν, καὶ οἰωνοὺς, καὶ τὸ περὶ φήμας, καὶ κληδόνας, καὶ σύμβολα, ἅπερ συλλήβδην τεχνικὰ προσηγόρευσαν· τὸ δὲ, ἄτεχνον, καὶ ἀδίδακτον, τουτέστιν ἐνύπνια, καὶ ἐνθουσιασμούς. οὐδὲ ταῦτα δὲ ὅμηρος ἠγνόησεν, ἀλλ' οἶδε μὲν μάντις, καὶ ἱερῆς, καὶ ὀνειροπόλους· ἔτι δὲ καὶ οἰωνιστὰς, καί τινα ἐν ἰθάκῃ σοφὸν, ὄρνιθάς τε γνῶναι, καὶ ἐναίσιμα μυθήσασθαι· καὶ ὀδυσσεὺς φησὶν εὐχόμενος, φήμην τίς μοι φαίνει ἐγειρομένων ἀνθρώπων ἔνδοθεν· ἔκτοσθεν δὲ διὸς τέρας φάνη μοι· καὶ πταρμὸς δὲ παρ' αὐτῷ σύμβολον ἀγαθὸν γίνεται· τοῖς δὲ μνηστῆρσιν ἐφίσταται ἔνθεος μάντις, ἔκ τινος ἐπιπνοίας σημαίνων τὰ μέλλοντα· ἐπεὶ δὲ καὶ ὁ ἕλενος αὐτήκοός φησι θείας φωνῆς γεγονέναι, ὡς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων, παρέχει πιστεύειν ὅτι καὶ σωκράτης ἀπὸ τῆς τοῦ δαιμονίου φωνῆς ἐμαντεύετο,

Τίς ἔτι καταλείπεται λογικὴ τέχνη, ἢ ἐπιστήμη; ἀλλὰ μὴν καὶ ἡ τραγῳδία τὴν ἀρχὴν ἔλαβεν ἐξ ὁμήρου, εἰς ὄγκον πραγμάτων, καὶ λόγων ἐπαρθεῖσα· ἔστι γὰρ παρ' αὐτῷ πᾶν εἶδος τραγῳδίας, ἔργα μεγάλα, καὶ παράδοξα, καὶ θεῶν ἐπιφάνειαι, καὶ λόγοι φρονήματος μεστοί, καὶ ἠθῶν παντοίων μιμητικοί. συνελόντι δ' εἰπεῖν ὅτι οὐδὲν ἄλλο, ἀλλ' ἢ δράματα αὐτοῦ ἐστι τὰ ποιήματα, σεμνὰ μὲν, καὶ ἐπηρμένα, τῇ λέξει, καὶ τῇ διανοίᾳ, καὶ τοῖς πράγμασιν· οὐκ ἔχοντα δὲ ἀνοσίων ἔργων ἐπιδείξεις, γάμους ἀθεμίτους, ἢ παίδων, ἢ γονέων σφαγὰς, ἢ ὅσα ἄλλα ἡ νεωτέρα τραγῳδία τερατεύεται. ἀλλὰ καὶ ὅταν τοιούτου τινὸς ἐπιμνησθῇ, ἐπικάμπτει μᾶλλον, ἢ ὀνειδίζειν πειρᾶται τὸ ἁμάρτημα, ὡς ἐπὶ τῆς κλυταιμνήστρας πι-

ποιητὴς φησὶ καὶ ὅτι φρεσὶ κέχρητ' ἀγαθῇσι τὸ πρότερον, ἕως παρόντα εἶχε τὸν ἀοιδόν, τουτέστι διδάσκαλόν τινα ὑπὸ τοῦ ἀγαμέμνονος ἐπισταθέντα ὅπως αὐτῇ τὰ ἄριστα παραινῇ. τοῦτον δὲ ἐκποδὼν ὁ αἴγισθος θέμενος, παρέπεισεν αὐτὴν ἐξαμαρτάνειν. καὶ ὅτι ὁ ὀρέστης δικαίως ἐτιμωρήσατο τῷ πατρί, τὸν αἴγισθον ἀποκτείνας, τὴν δὲ τῆς μητρὸς ἀναίρεσιν ἀπεσιώπησε. καὶ ἄλλα πολλὰ τοιαῦτα ἰδεῖν ἔστι παρὰ τῷ ποιητῇ, τραγῳδίαν σεμνήν, καὶ οὐκ ἀπάνθρωπον γράφοντι.

Οὐδὲν δὲ ἔλαττον καὶ ἡ κωμῳδία ἐνθένδε ποθὲν ἔλαβε τὴν ἀφορμήν. εὗρε γὰρ ὅτι καὶ παρὰ τῷ τὰ σεμνότατα, καὶ ὑψηλότατα διηγουμένῳ, ἐπεισόδιά τινα ἐπὶ γέλωτα κινοῦντα. διὸ ἐν τῇ ἰλιάδι, ὁ μὲν ἥφαιστος χωλεύων, εἰσάγεται οἰνοχοῶν τοῖς θεοῖς. ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν. ὁ δὲ θερσίτης τῷ τε σώματι αἴσχιστος, καὶ τὴν ψυχὴν κάκιστος, ἐκ τοῦ θορυβεῖν, καὶ κακολογεῖν, καὶ αὐχεῖν, ἐφ' οἷς τυπτόμενος ὑπὸ τοῦ ὀδυσσέως, πάντας γελᾶν παρεσκεύασεν. οἱ δὲ καὶ ἀχνύμενοί περ, ἐπ' αὐτῷ ἡδὺ γέλασσαν. ἐν δὲ τῇ ὀδυσσείᾳ ὁ παρὰ τοῖς ἡδυπαθοῦσι φαίαξι δημόδοκος ᾄδει τὴν ἄρεος, καὶ ἀφροδίτης μοιχείαν, καὶ ὅπως ἐμπεσόντες εἰς τὰ τοῦ ἡφαίστου δεσμά, κατάφωροί τε ἐγένοντο, καὶ γέλωτα παρέσχον τοῖς ἄλλοις θεοῖς. οἱ καὶ ἔσκωψαν χαριέντως πρὸς ἀλλήλους, καὶ παρὰ τοῖς ἀσώτοις μνηστῆρσιν εἰσάγεται ὁ πτωχὸς ἶρος, τῷ γενναιοτάτῳ ὀδυσσεῖ ἐρίζων εἰς πάλην, καὶ ἐν τῷ ἔργῳ φαινόμενος καταγέλαστος. καθόλου γὰρ οἰκεῖον ἐπὶ τῇ τοῦ ἀνθρώπου φύσει, μὴ μόνον ἐπιτείνεσθαι, ἀλλὰ καὶ ἀνίεσθαι, ἵνα καὶ διαρκῇ πρὸς τοὺς ἐν τῷ ζῆν πόνους. τοιαύτη μὲν καὶ ἡ θυμηδία παρὰ τῷ ποιητῇ εὑρίσκεται. εἰ δέ οἱ μετ' αὐτὸν εἰσαγαγόντες τὴν κωμῳδίαν λόγοις αἰσχροῖς, καὶ ἀποκεκαλυμμένοις, εἰς παρασκευὴν γέλωτος

ἐχρήσαντο, οὐκ ἂν ἔποιει ἀμείνονι τι εὑρηκέναι. καὶ τὰ τῶν ἐρω-
τικῶν διαθέσεων, καὶ λόγων, ὅμηρος μὲν ἐγκρατῶς ἐπε-
μνήσθη, ὥσπερ ὅταν φησιν. οὐ γάρ πώποτέ με ἔρως φρένας
ἀμφεκάλυψε, καὶ τὰ ἑξῆς. καὶ ἐπὶ τῆς ἑλένης, οὐ νέμεσις
τρῶας τε, καὶ ἐϋκνήμιδας ἀχαιοὺς, τοιῇδ' ἀμφὶ γυναικὶ
πολὺν χρόνον ἄλγεα πάσχειν. καὶ ὅσα ἄλλα τοιαῦτα. οἱ δ'
ἄλλοι ποιηταὶ, ἀκρατῶς, καὶ ἀμέτρως ἁλισκομένους τῷ
πάθει τοὺς ἀνθρώπους ἐποίησαν. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Ε στι δέ τι χάριεν εἶδος λόγων καὶ τὸ τῶν ἐπιγραμμάτων,
ὅπερ εὑρέθη ἐπὶ τῶν ἀγαλμάτων, καὶ αὖ πάλιν ἐπὶ τῶν
μνημάτων, σημαῖνον συντόμως τὸν τούτων τινὶ τετι-
μημένον. ἀλλὰ καὶ τοῦτο ὅμηρος, ὅπου φησίν. ἀνδρὸς μὲν
τόδε σῆμα πάλαι κατατεθνειῶτος, ὅν ποτ' ἀριστεύοντα,
κατέκτανε φαίδιμος ἕκτωρ. καὶ πάλιν, ἕκτορος ἥδε
γυνὴ, ὃς ἀριστεύεσκε μάχεσθαι τρώων ἱπποδάμων, ὅτε
ἴλιον ἀμφεμάχοντο.

Ε ἰ δὲ καὶ ζωγραφίας διδάσκαλον ὅμηρον φαίη τις, οὐκ
ἂν ἁμαρτάνοι. καὶ γὰρ εἶπέ τις τῶν σοφῶν, ὅτι ἐστὶν ἡ ποι-
ητικὴ ζωγραφία λαλοῦσα, ἡ δὲ ζωγραφία ποιητικὴ σιω-
πῶσα. τίς οὖν πρῶτος, ἢ τίς μᾶλλον ὁμήρου τῇ φαντα-
σίᾳ τῶν νοημάτων, ἢ τῇ εὐφωνίᾳ τῶν ἐπῶν ἐκόσμη-
σε θεοὺς, ἀνθρώπους, τόπους, πράξεις ποικίλας. ἀνέπλασε
δὲ τῇ ὕλῃ τῶν λόγων, καὶ ζῶα παντοῖα, καὶ μάλιστα τὰ
ἀλκιμώτατα, λέοντας, σύας, παρδάλεις. ὧν τὰς ἀφορ-
μὰς, καὶ διαθέσεις ὑπογράψας, καὶ ἀνθρωπείοις πράγμα-
σι παραβαλὼν, ἔδειξεν ἑκατέρας τὰς οἰκειότητας.
ἐτόλμησε δὲ καὶ θεοῖς μορφὰς ἀνθρώπων εἰκάσαι. ὁ δὲ
τὴν ἀσπίδα τῷ ἀχιλλεῖ κατασκευάσας ἥφαιστος, καὶ ἐν-
τορεύσας τῷ χρυσῷ, γῆν, οὐρανὸν, θάλασσαν,

Ε τι δὲ μέγεθος ἡλίου, καὶ κάλλος σελήνης, καὶ πλῆθος ἄστρων
στεφανούντων τὸ πᾶν, καὶ πόλεις ἐν διαφόροις τρόποις, καὶ τύ-

χαλκοῦς καθεστῶσας, καὶ ζῶα, κινούμενα, καὶ φθεγγόμενα, τίνος οὐ φαίνεται τέχνης τοιαύτης δημιουργοῦ τεχνικώτερος;

Ἴδωμεν δὲ καὶ ἐπὶ ἄλλου ἑνὸς ἐκ πολλῶν παραδείγματος, ὅτι ὁρωμένοις μᾶλλον, ἢ ἀκουομένοις ἔοικε τὰ ποιήματα. ὥσπερ ἔχει καὶ τὰ τοιαῦτα, ἐν οἷς τὴν οὐλὴν τοῦ ὀδυσσέως φράσας, ἐπιφέρει τὰ τῆς εὐρυκλείας. τὴν, γρηῦς χείρεσσι καταπρηνέσσι λαβοῦσα, γνῶ ῥ' ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι. ἂψ δ' ἑτέρωσ' ἐκλίθη. τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ. τὴν δ' ἅμα χάρμα, καὶ ἄλγος ἕλε φρένα. τὼ δέ οἱ ὄσσε, δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή. ἁψαμένη δὲ γενείου, ὀδυσσῆα προσέειπεν. ἦ μάλ' ὀδυσσεύς ἐσσι φίλον τέκος, οὐδέ σ' ἔγωγε πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ' ἐμὸν ἀμφαφάασθαι. ἡ δὲ πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσι, πεφραδέειν ἐθέλουσα, καὶ τὰ ἑξῆς.

Ἐνταῦθα γὰρ καὶ τῶν ἐν πίνακι γραπτῶν δεδειγμένων τῶν ὑπὸ τὸν ὀφθαλμὸν πεσεῖν δυναμένων, ἐμφαίνεται πλείω, τὰ μὴ δὲ τῇ ὄψει ἔτι καταληπτά, ἀλλὰ τῇ νοήσει μόνῃ. ἥτε διὰ τὴν ἔκπληξιν ἄφεσις τοῦ ποδὸς, καὶ ὁ ψόφος τοῦ χαλκοῦ, καὶ τὸ ἐκχεόμενον ὕδωρ, καὶ τῆς γραὸς λύπη τε ἅμα, καὶ χαρά, καὶ τὰ ῥηθέντα πρὸς τὸν ὀδυσσέα, καὶ ἃ πρὸς τὴν πηνελόπην ἀποβλέψασα εἰπεῖν ἐμέλλησε.

Πολλὰ δὲ καὶ ἄλλα γραφικῶς παρὰ τῷ ποιητῇ δείκνυται. ἅπερ ἐν αὐτῇ τῇ ἀναγνώσει θεάσασθαι ἔνεστιν.

Ἐνταῦθα καιρὸς καταπαύειν τὸν λόγον, ὃν ὥσπερ ἢ στέφανον ἐκ λειμῶνος πολυανθοῦς, καὶ ποικίλου πλέξαντες, ταῖς μούσαις ἀνατίθεμεν, καὶ οὐκ ἂν φροντίσαιμεν εἴ τις ἐπιτιμήσειεν, ὅτι πονηρῶν πραγμάτων ὑπόθεσιν ἐχουσῶν τῶν τοῦ ὁμήρου ποιήσεων, προσάπτομεν αὐτῷ λόγους φυσικούς, πολιτικούς, καὶ ἠθικούς, καὶ ἐπιστήμας ποικίλας. ἀνάγκη μὲν γὰρ ἦν τῷ ποιητῇ πράξεις παραδόξους,

Landesbibliothek Oldenburg

καὶ πάθη, καὶ ἤθη διάφορα ὑποτίθεσθαι. ἔπειτα τὰ μὲν ἀγαθὰ καθ' ἑαυτά, ἁπλᾶ ἐστι, καὶ μονοειδῆ, καὶ ἀκατάσκευα. τὰ δὲ τοῖς κακοῖς ἀναμεμιγμένα, πολλοὺς ἔχει καὶ τρόπους, καὶ παντοίας διαθέσεις, ἐξ ὧν ἡ ὕλη τῶν πραγμάτων συνίσταται. ἐν ᾗ παρατιθεμένων τῶν χειρόνων, ἡ τῶν ἀμεινόνων γνῶσις, καὶ αἵρεσις, ῥάων καθίσταται. καὶ τὸ ὅλον, ἡ τοιαύτη ὑπόθεσις παρέχει ἀφορμὰς τῷ ποιητῇ παντοδαποὺς κινῆσαι λόγους, τοὺς μέν, ἀπ' αὐτοῦ, τοὺς δέ, ἀπὸ τῶν εἰσαγομένων προσώπων. ὥστε τὴν ἀπὸ τούτων ὠφέλειαν, τοῖς ἐντυγχάνουσι παρασχεῖν. πῶς δὲ οὐκ ἂν πᾶσαν ἀρετὴν ἀναθείημεν ὁμήρῳ; ὅπου καὶ ὅσα αὐτὸς μὴ ἐπετήδευσε, ταῦτα οἱ ἐπιγενόμενοι ἐν τοῖς ποιήμασιν αὐτοῦ κατενόησαν. καὶ χρῶνται μέν τινες πρὸς μαντείαν τοῖς ἔπεσιν αὐτοῦ, καθάπερ τοῖς χρησμοῖς τοῦ θεοῦ. ἄλλοι δὲ ἑτέρας ὑποθέσεις προθέμενοι, ἁρμόζουσιν ἐπ' αὐτὰς τὰ ἔπη μετατιθέντες, καὶ συνείροντες.

## ΠΕΡΙ ΟΜΗΡΟΥ ΛΟΓΟΣ ΝΓ ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

ὁ

Μὲν δημόκριτος περὶ ὁμήρου φησὶν οὕτως. ὅμηρος φύσεως λαχὼν θεαζούσης, ἐπέων κόσμον ἐτεκτήνατο παντοίων. ὡς οὐκ ἐνὸν, ἄνευ θείας, καὶ δαιμονίας φύσεως, οὕτω καλά, καὶ σοφὰ ἔπη ἐργάσασθαι. πολλοὶ δὲ καὶ ἄλλοι γεγράφασιν, οἱ μὲν, ἄντικρυς ἐγκωμιάζοντες τὸν ποιητὴν ἅμα, καὶ δηλοῦντες ἔνια τῶν ὑπ' αὐτοῦ λεγομένων. οἱ δέ, αὐτὸ τοῦτο, τὴν διάνοιαν ἐξηγούμενοι οὐ μόνον ἀρίσταρχος, καὶ κράτης, καὶ ἕτεροι πλεί-

ους τῶν ὕστερον γραμματικῶν κληθέντων, πρότερον δὲ κριτικῶν, καὶ δὴ καὶ αὐτὸς ἀριστοτέλης, ἀφ' οὗ φασι τὴν κριτικήν τε, καὶ γραμματικὴν ἀρχὴν λαβεῖν, ἐν πολλοῖς διαλόγοις περὶ τοῦ ποιητοῦ διέξεισι, θαυμάζων αὐτὸν ὡς τὸ πολύ, καὶ τιμῶν. ἔτι δὲ ἡρακλείδης ὁ ποντικός. τούτων δὲ πρότερος πλάτων πανταχοῦ μέμνηται, τὸ μὲν ἡδονήν, καὶ χάριν τὴν τῶν ἐπῶν ἐκπληττόμενος, πολλάκις γε μὴν ἀπομεμφόμενος ἐν τοῖς περὶ θεῶν μύθοις τε, καὶ λόγοις, ὡς οὐ συμφέροντα τοῖς ἀνθρώποις οὐδαμῶς αὐτὸν εἰρηκότα, πλεονεξίας, καὶ ἐπιβουλὰς κατ' ἀλλήλων, καὶ μοιχείας, καὶ ἔριδας, καὶ φιλονεικίας περὶ θεῶν ἐπεξιόντα. μετὰ ταῦτα, οὐ μεταδίδωσιν αὐτῷ τῆς αὐτοῦ πόλεώς τε, καὶ πολιτείας σοφῆς, ὡς αὐτὸς ἐνόμιζεν ἐσομένης, ἵνα μήτε ταῦτα ἀκούωσι περὶ θεῶν νέοι ὄντες, οὓς ἐκεῖνος ἀποφαίνει φύλακάς τε, καὶ ἡγεμόνας τῆς πόλεως. μήδ' αὖ περὶ τῶν ἐν ᾅδου μηδὲν σκυθρωπὸν λεγόμενον, μαλακωτέρους αὐτοὺς πρός τε τὸ μάχεσθαι, καὶ τὸ ἀποθνήσκειν ποιῇ. μὴ δὲ ὥσπερ πολλοὺς κακῶς πολιτευθέντας ἐξ ἀρχῆς ὑπὸ τῶν πρὸς τὰ μὴ φόρα    περὶ μὲν δὴ τούτων, ἕτερος λόγος πλείων, καὶ μακρότερος, καὶ οὐ ῥᾴδιος, πότερον ὅμηρος ἥμαρτε περὶ ταῦτα, ἢ φυσικοὺς τινας ἐνόντας ἐν τοῖς μύθοις λόγους, κατὰ τὴν τότε συνήθειαν παρεδίδου τοῖς ἀνθρώποις. οὐ γὰρ ῥᾴδιον διαιτῆσαι τὸ τοιοῦτον, καθάπερ οἶμαι δύο φίλων ἀνδρῶν ἀμφοτέρων σεμνῶν, τοῦ ἑτέρου τῷ ἑτέρῳ ἐγκαλοῦντος, ἕν ὅσοις αὐτῶν καταγνῶναι. γέγραφε δὲ ζήνων ὁ φιλόσοφος, εἴς τε τὴν ἰλιάδα, καὶ τὴν ὀδύσσειαν. καὶ περὶ τοῦ μαργίτου δέ, δοκεῖ γὰρ καὶ τοῦτο τὸ ποίημα, ὑπὸ ὁμήρου γεγονέναι νεωτέρου, καὶ ἀποπειρωμένου τῆς αὐτοῦ φύσεως πρὸς ποίησιν. ὁ δὲ ζήνων, οὐδὲν τοῦ ὁμήρου λέγει, ἀλλὰ διη-

γούμενος, καὶ διδάσκων, τὰ μέν, κατὰ δόξαν, τὰ δέ, κατὰ ἀλήθειαν γέγραφεν, ὅπως μὴ φαίνηται αὐτὸς αὐτῷ ἔν τισι δοκοῦσιν ἐναντίως εἰρῆσθαι. ὁ δὲ λόγος οὗτος ἀντισθένους ἐστὶ πρότερον· ὅτι τὰ μέν, δόξῃ, τὰ δέ, ἀληθείᾳ εἴρηται τῷ ποιητῇ· ἀλλ' ὁ μὲν οὐκ ἐξειργάσατο αὐτόν· ὁ δέ, καθ' ἕκαστον τῶν ἐπὶ μέρους ἐδήλωσεν. ἔτι δὲ καὶ περσαῖος ὁ τοῦ ζήνωνος κατ' αὐτὴν ὑπόθεσιν γέγραφε, καὶ ἄλλοι πλείους. ὁ δὲ πλάτων ἅμα αἰτιώμενος αὐτὸν ὡς εἶπον, καὶ τὴν δύναμιν αὐτοῦ θαυμαστήν τινα ἀποφαίνει τῆς ποιήσεως, ὡς ἱκανὸν ὄντα παντὸς χρήματος, καὶ πάσας ἀτεχνῶς ἀφιέντα φωνὰς ποταμῶν τε, καὶ ἀνέμων, καὶ κυμάτων. καὶ κελεύει μάλα εἰρηνικῶς στέψαντας αὐτὸν ἐρίῳ, καὶ μύρῳ καταχέαντας, ἀφιέναι παρ' ἄλλους. τοῦτο δὲ αἱ γυναῖκες ἐπὶ τῶν χελιδόνων ποιοῦσιν. ἔτι δὲ καὶ αὐτὸς ὁ τῆς χάριτος ἐπιόν, τὴν ποίησιν σφόδρα ἄγαται τὸν ἄνδρα. ἀτεχνῶς γάρ, οὐκ ἄνευ θείας τύχης, οὐδ' ἄνευ μουσῶν τε, καὶ ἀπόλλωνος ἐπιπνοίας, ἦν δυνατὸν οὕτως ὑψηλήν, καὶ μεγαλοπρεπῆ, καὶ προσέτι ἡδεῖαν γενέσθαι ποίησιν, ὥστε μὴ μόνον τοὺς ὁμογλώττους, καὶ ὁμοφώνους τοσοῦτον ἤδη κατέχειν χρόνον, ἀλλὰ καὶ τῶν βαρβάρων πολλούς. τοὺς μὲν διγλώττους, καὶ μιγάδας, σφόδρα ἐμπείρους εἶναι τῶν ἐπῶν αὐτῶν, πολλὰ τῶν ἄλλων ἀγνοοῦντας τῶν ἑλληνικῶν. ἐνίους δὲ καὶ τῶν σφόδρα μακρὰν διῳκισμένων, ὁπότε καὶ παρ' ἰνδοῖς ᾄδεσθαί φασι τὴν ὁμήρου ποίησιν, μεταλαβόντων αὐτῶν εἰς τὴν σφετέραν διάλεκτόν τε, καὶ φωνήν. ὥστε καὶ ἰνδοί, τῶν μὲν ἄστρων τῶν παρ' ἡμῖν, πολλῶν εἰσιν ἀθέατοι· τὰς γὰρ ἄρκτους, οὔ φασι φαίνεσθαι παρ' αὐτοῖς. τῶν δὲ πριάμου παθημάτων, καὶ τῶν ἀνδρομάχης, καὶ ἑκάβης θρήνων, καὶ ὀδυρμῶν, καὶ τῆς ἀχιλλέως τε, καὶ ἕκτορος ἀνδρείας, οὐκ ἀπείρως ἔχουσι. τοσοῦτον ἴσχυσεν ἑνὸς ἀνδρὸς μουσική. καὶ δοκεῖ ἔμοιγε, τῇ

Landesbibliothek Oldenburg

δυνάμει ταύτῃ, τάς τε σειρῆνας ὑπερβαλέσθαι, καὶ τὸν ὀρφέα. τὸ γὰρ λίθους τε, καὶ φυτὰ, καὶ θηρία κηλεῖν, καὶ ἄγειν, τί ἐστιν ἕτερον, ἢ τὸ βαρβάρους ἀνθρώπους ἀσυνέτους τῆς ἑλληνικῆς φωνῆς, οὕτως ἄγαν χειρώσασθαι, μήτε τῆς γλώττης, μήτε τῶν πραγμάτων ἐμπείρους ὄντας, ὑπὲρ ὧν ὁ λόγος, ἀλλὰ ἀτεχνῶς καθάπερ οἶμαι, πρὸς κιθάραν κηλουμένους; ἡγοῦμαι δὲ ἔγωγε πολλοὺς καὶ τῶν ἀμαθεστέρων ἔτι βαρβάρων, τό γε ὄνομα ἀκηκοέναι τὸ ὁμήρου ὅτι δὲ δηλοῖ τοῦτο μὴ εἰδέναι σαφῶς, εἴτε ζῶον, εἴτε πρᾶγμα ἕτερον, εἴτε φυτόν. οὐ μὴν, ἀλλὰ καὶ τὸν βίον ἐπαινέσαι τινὰς τοῦ ἀνδρὸς πολὺ μᾶλλον τῆς ποιήσεως. τὸ ἐν πενίᾳ διαγενέσθαι, καὶ ἀλώμενον, καὶ τοσοῦτον ἀπὸ τῶν ποιημάτων πορίζοντα ὁπόσον ἀποζῆν, θαῦμα τῆς ἀνδρείας, καὶ μεγαλοφροσύνης. ἔτι δὲ τὸ μηδαμοῦ γεγράφθαι τὸ αὐτοῦ ὄνομα, ἀλλὰ μηδὲ ἐν τῇ αὐτοῦ ποιήσει μνησθῆναι. καίτοι τῶν ἄλλων ἁπάντων, ὁπόσοι τινὰ ἔδοξαν ἔχειν δύναμιν, ἢ περὶ ποίησιν, ἢ καταλογάδην συγγράφοντες, καὶ πρῶτον, καὶ τελευταῖον, τὸ ἑαυτῶν ὄνομα συγγραφόντων. πολλῶν δὲ καὶ ἐν αὐτοῖς τοῖς λόγοις τε, καὶ ποιήμασιν, ὥσπερ ἑκαταῖός τε, καὶ ἡρόδοτος, καὶ θουκυδίδης. οὗτος μὲν οὖν οὐχ ἅπαξ μόνον ἐν ἀρχῇ τῆς ἱστορίας, ἀλλὰ πολλάκις διαμαρτυράμενος, καθ' ἕκαστον χειμῶνα, καὶ θέρος, ὅτι ταῦτα ξυνέγραψε θουκυδίδης. ὁ δὲ, οὕτως ἄρα ἐλεύθερος ἦν, καὶ μεγαλόφρων, ὥστε οὐδαμοῦ φανήσεται τῆς ποιήσεως αὐτοῦ μεμνημένος, ἀλλὰ τῷ ὄντι ὥσπερ οἱ προφῆται τῶν θεῶν, ὥσπερ ἐξ ἀφανοῦς, καὶ ἀδύτου ποθὲν φθεγγόμενος. ὅτι δὲ καὶ ὠφέλιμα πάντα, καὶ χρήσιμα ἔγραφε, τὰ μὲν ἄλλα εἰ διεξίοι τις, πολὺ ἂν ἔργον ἐπείη, ὅσα πεποίηκε περὶ ἀρετῆς, καὶ κακίας. περὶ δὲ τῶν βασιλέων, ἐν βραχεῖ οἷους φη-

σὶ δεῖ εἶναι. ὃν γὰρ ἂν ἐπαινῇ τῶν βασιλέων, διὶ μῆτιν ἀτάλαντόν φησιν εἶναι, καὶ διοτρεφέας ἅπαντας τοὺς ἀγαθοὺς βασιλεῖς. καὶ τὸν μίνω, μεγίστην ἐπὶ δικαιοσύνῃ δόξαν ἔχοντα παρὰ τοῖς ἕλλησι, τοῦ διὸς ὁμιλητήν τε, καὶ μαθητὴν εἶναί φησιν, ὡς πρῶτον δὴ, καὶ μέγιστον ἁπάντων ἐκείνων βασιλέα, καὶ μόνον αὐτὸν ἐπιστάμενον, καὶ παραδιδόντα τὴν βασιλικὴν τέχνην, καὶ τοὺς ἀγαθοὺς βασιλεῖς δέον πρὸς ἐκεῖνον βλέποντας, κατευθύνειν τὴν ἀρχήν, ἀφομοιοῦντας ὡς δυνατόν ἐστιν ἀνθρώπους θεῷ, τὸν αὐτὸν τρόπον. τὸ δὲ τοῦ διὸς ἦθος, καὶ τὴν βασιλείαν, ὁποία τις ἦν, ἐν πολλοῖς ἄλλοις ποιεῖ φανεράν. ὡς δ' ἐν βραχεῖ περιλαβόντα ἢ πᾶν, τὴν δύναμιν αὐτοῦ, καὶ τὴν διάνοιαν, δηλοῖ πολλάκις ἀεί ποτε αὐτὸν οὕτως ὀνομάζων, πατὴρ ἀνδρῶν τε, θεῶν τε, ὡς δέον τὴν τῶν βασιλέων ἐπιμέλειαν, πατρικὴν, καὶ κηδεμονικὴν εἶναι, μετ' εὐνοίας, καὶ φιλίας, ὡς μηδέποτε ἄλλως προσῆκον ἀνθρώπῳ προΐστασθαί τε, καὶ ἄρχειν, ἢ ἀγαπῶντα, καὶ προνοοῦντα, ὁπότε ὁ ζεὺς οὐχ ὑπερορᾷ πατὴρ τῶν ἀνθρώπων καλεῖσθαι.

ΤΕΛΟΣ.

Landesbibliothek Oldenburg

τὴν δὲ δόσιν ἀγαθήν τε φίλην τε ἔχε,

φίλταθ' ~~ὄφρα με~~,

ὠάσης τῆς ἀρετῆς καὶ σοφίας

~~πατρὸς~~

# ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

# HOMERI ILIAS.

AL DVS

Landesbibliothek Oldenburg